Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0001-7

La. 20.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0002-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0003-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0004-4

ΑΡΙΣΤΟΦΑΝΟΥΣ
ΝΕΦΕΛΑΙ.

# ARISTOPHANIS
# N V B E S

IN VSVM
SEMINARII REGII THEOL.
SEPARATIM EDIDIT,
VARIETATEM LECTIONIS,
INDICEMQVE VERBORVM
ADIECIT
CHRISTIANVS GODOFREDVS SCHVTZ A. M.



HALAE PROPE SALAM
APVD IOANNEM CHRISTIANVM HENDEL
CIↃIↃCCLXX.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0005-9

KŒN. PR. FR.
UNIVERS.
ZV HALLE.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0006-5

# PRAEFATIO.

Quum explicatis in Seminario regio Xenophontis memorabilium Socratis dictorum libris, interpretationem nubium Ariſtophanis aggrederemur primum omnium hanc nobis curam impoſitam eſſe videbamus, vt quam minimo pretio redimi poſſent ab auditoribus huius comoediae exempla. *Schlaegerum*, profeſſorem Helmſtadienſem ſciebam iſtam fabulam ſine ſcholiis olim edidiſſe, (nam quo minus editione ſcholiis graecis aucta poſſemus vti, rationes argentariae obſtabant) verum illius ἐκδοσεως aut nulla, aut certe pauciſſima exempla ſupereſſe in tabernis librariis, intelligebam. Itaque neceſſitate magis quam voluntate ductus, perfeci, vt nubes Ariſtophanis, adiecta lectio-

nis varietate, (quoniam id nec molem libelli nec pretium augere posset) iterum typis describerentur. Contuli autem editiones, non omnes quidem, sed quarum copia erat, in iisque praestantissimas; Berglerianam a Burmanno curatam, eique adiectas Dukeri notas, Küsterianam, in eaque ipsius Küsteri animaduersiones ex vtroque cod. Vatic. maxime ductas, & Bentleii emendationes; Lugdunensem graecolatinam (1624 forma minima expressam) cui adiectae sunt virorum doctorum, Scaligeri praesertim, quaedam emendationes, tandem Aemilii Porti, nonnullasque alias, vetustiores maxime editiones. E Toupii in Suidam animaduersionibus, quae huc pertinebant, adieci. *Reiskii* V. Cl. animaduersiones ad Euripidam & Aristophanem, ad manus tum non erant, quum primae huius recensionis plagulae typis exscriberentur; nunc quum beneficio viri celeberrimi ad me peruenerint, potiores eius emendationes hic subiungam, simulque alias quasdam, quae festinantibus nobis exciderunt, intermiscebo.

V. 30. Cl *Reiskius* pro ἔβα substituit ἐλᾷ i. e. ἐλαύνει. v. 90. legit κᾆτα πείσει *etiamne obedies?* v. 121. ἔδει *comedes?* v. 145. Ψύλλαν ὁπόσους ἂν θοῖτο τοὺς αὐτῆς πόδας, *quantos putaret eius pedes.* v. 156. ἀντήρετ' *inuicem interrogabat.* v. 161. διὰ λεπτοῦ. v. 213. ἡμῶν. v. 227 ita legendum esse censet: ἀλλ' ἐκ ἀπὸ τῆς γῆς. ΣΩΚΡ. οὐ γὰρ εἴπερ ἂν ποτε, *non enim, si vnquam, inuenero.* v. 257. πάντας. v. 276. δροσεραὶ & εὐάγητοι. *Lambertus Bos* in animadu. ad scriptores graecos p. 83. accusatiuos quidem defendit, & κατὰ subintelligendum esse putat; attamen pro εὐάγητον, reponit εὐάχητον, quod est doricum pro εὐ-

εὐήχητον, *valde resonans.* v. 331. Cl. *Reiskius* legendum esse suspicatur οὐριομάντεις, *qui e vento vaticinantur.* v. 371. legit προσέβυσας, *protrusisti me, vt sententia mea relicta pedibus quasi in tuam concederem.* v. 415. μητ' ἀπορίςων ἐπιθυμεῖς *neque res difficulter parabiles appetis.* v. 422. οὐδὲν. v. 535. ita constituit Cel. *Ernesti* V. S. V. in praefatione Nubibus praefixa, qua recte iudicauit Burmannus nihil in suo genere consummatius commendari posse) ζητῦσ' ἦλθ' ἢν πȣ' πιτύχῃ. v. 542. Cl. *Reiskius* τὸν παρόντα, βαυίζων. v. 547. εἰσφέρων. v 575. Bentleius reponit πρόσχετε. v. 595. Cl. *Reiskius* κλυτέ. v. 719. φρούδας ᾄδων *canens res perditas.* v. 714. Cl. *Ernestius* versus ita disiungit:

καὶ μ' ἀπολῦσιν

ΣΩ. μήνυν β. α. λ.

v. 742. doctiss. *Reiskius* rescribit τῇ γνώμῃ. v. 809. Χνῦν ἀπολόψεις. v. 815. Cl. *Ernestius* legit Δία νομίζειν, ὄντα τηλικȣτονὶ, omisso articulo τὸν. v. 907. *Reiskius* V. C. εἷρκας ab εἵρω necto; v. 913. idem delet personam, & v. 915. adscribit. v. 999. suspicatur legendum esse; τριοδιοεκτράπελα. v. 1103. ἐπάγεσθαι. v. 1111. personam Chori delet. v. 1117. legit τεκȣσης ἀμπέλȣ. v. 1133. ὀμνὺς. v. 1149. ὦ παμβασίλεια παιδόλη *puerorum corruptrix.* v. 1205. ἄριθμος ἄλλος πρόβατα. v. 1216. χρῆν. v. 1255. ἀπολιπαρεῖς *decedes de foribus quibus adeo tenaciter inhaeres.* v. 1302. ἐςὶ. ΣΤΡ. νύξω σε πικρῶς. v. 1411. ἵππων.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0009-5

Caeterum iudicia de subiectis emendationibus, nusquam attuli spatii angustiam reueritus, eaque lectionibus commode reseruari posse putaui. Quam ob caussam initio quoque ab indice verborum adiiciendo plane abhorrebam; tandem vero quorundam consiliis hoc dedi, vt obscuriora vocabula, vel rarius occurrentia cum interpretatione latina subiicerentur. Copiosiorem illustrationem, cum ex omni philologiae graecae ambitu, tum e scholiis antiquis praecipue repetendam, scholis ipsis relinquimus. Quod reliquum est, neminem fore spero tam iniquum arbitrum, qui nos acrius reprehendat, quod plura nunc non contulerimus ad huius libelli commendationem, quam aut temporis consiliique ratio, aut ingenii tenuitas permitteret; praesertim quum vltro fateamur, praeter exemplorum inopiam subleuandi, pretiique vilitatem promouendi studium, quod nos ad suscipiendum hunc laborem impelleret, nihil omnino fuisse. Dab. Halae in Fridericiana Regia Calend. Maj. cIↄIↄcclxx.

API-

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΩΝ

## ΠΡΟΘΕΩΡΙΑ

### Θωμᾶ τοῦ Μαγίστρου.

Ἄνυτος καὶ Μέλιτος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες, καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι, ἀργύριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δρᾶμα κατ' αὐτοῦ συστήσηται. Καὶ ὃς πεισθεὶς, γέροντά τινα Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδιππίδου ἱπποτροφίαν. Οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης τὶ ποιήσει περὶ τα χρέα, βουλεύεται προσαγαγεῖν τῷ Σωκράτει τὸν τούτου παῖδα, ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον, καὶ οὕτω τοὺς δανειστὰς ἀποκρούσηται. Φειδιππίδης μεν οὖν πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη. Ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκεῖνον ἐλπίδος, καὶ οὐκ ἔχων ὅστις καὶ γένηται εἰς δεύτερον εἶδε πλοῦν. Οὐδὲν γὰρ τῆς ἡλικίας φροντίσας οὐδ' ἐνθυμηθεὶς, εἴ τισιν ἄτοπος δόξειεν ἀνὴρ γήραιος ὁδῷ μανθάνειν, καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα αὐτὸς πρόσεισι τῷ Σωκράτει. Οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ νοήσει τὸν νοῦν, ἀλλα τοιοῦτος ὢν οἷς ἐμάνθανεν, οἷος καὶ πρὶν τῆς παιδείας ἐφῆφθαι, αὐτὸς μὲν ἀπέγνω παιδεύεσθαι. Προσελθὼν δὲ τῷ παιδὶ, καὶ αὖ-

θις

θις πολλαῖς πεποίηκε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γεγενῆσθαι. Ὁ δὲ καὶ γέγονε, καὶ μεμάθηκε. Συνίσταται δὲ τὸ δρᾶμα ἐκ Χοροῦ Νεφελῶν. Ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς, καινὰ ἐνόμιζε δαιμόνια, Ἀέρα, Νέφελας, καὶ τὰ τοιαῦτα.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΤΡΕΨΙΑΔΗΣ.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ΘΕΡΑΠΩΝ ΣΤΡΕΨΙΑΔΟΥ.
ΜΑΘΗΤΗΣ ΣΩΚΡΑΤΟΥΣ.
ΣΩΚΡΑΤΗΣ.
ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ.
ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ.
ΑΔΙΚΟΣ ΛΟΓΟΣ.
ΠΑΣΙΑΣ δανειστής.
ΑΜΥΝΙΑΣ δανειστής.
ΜΑΡΤΥΣ.
ΧΑΙΡΕΦΩΝ.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

## ΔΡΑΜΑΤΟΣ ά. ΣΚΗΝΗ ά.

Τρίμετροι Ιαμβικόι.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΘΕΡΑΠΩΝ.

---

ΣΤ. Ἰού, ἰού!
Ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον
Ἀπέρατον; a) οὐδέποθ' ἡμέρα γενήσεται;
Καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ.
Οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν προτοῦ.
Ἀπόλοιο δῆτ' ὦ πόλεμε πολλῶν οὕνεκα.
Ὅτ' b) οὐδὲ κολάσ' ἔξεσί μοι τοὺς οἰκέτας.
Ἀλλ' οὐδ' ὁ χρηστὸς ουτοσὶ νεανίας
Ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
Ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
Ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν ἐγκεκαλυμμένοι.
Ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν, δακνόμενος
Ὑπὸ τῆς δαπάνης, καὶ τῆς φάτνης, καὶ τῶν χρεῶν

Διὰ

a) *al.* ἀπέραντον e Mss. *Vatic.*
b) ὅτι *Lugd.*

Διὰ 'τουτονὶ τὸν υἱόν. ὁ δὲ, κόμην ἔχων,
Ἱππάζεταί c) τε καὶ ξυνωρικεύεται,
Ὀνειροπολεῖθ' ἵππους. ἐγὼ δ' ἀπόλλυμαι,
Ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.
Οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε παῖ λύχνον
Κἄκφερε τὸ γραμματεῖον· ἵν ἀναγνῶ λαβὼν
Ὁπόσοις ὀφείλω, καὶ λογίσωμαι τȣ̀ς τόκȣς.
Φέρ' ἴδω τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
Τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
Ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας.
Εἴθ' ἐξεκόπην d) πρότερον τὸν ὀφθαλμὸν λίθῳ.
ΦΕΙ. Φίλων, ἀδικεῖς. ἔλαυνε τὸν σαυτοῦ δρόμον.
ΣΤ. Τοῦτ' ἔστι τοῦτο τὸ κακὸν, ὅ μ' ἀπολώλεκεν.
Ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
ΦΕΙ. Πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;
ΣΤ. Ἐμὲ μέν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.
Ἀτὰρ τί χρέος ἔβα μέ μετὰ τὸν Πασίαν;
Τρεῖς μναῖ διφρίσκου, καὶ τροχοῖν Ἀμυνίᾳ.
ΦΕΙ. Ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
ΣΤ. Ἀλλ' ὦ μέλ' ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
Ὅτε καὶ δίκας ὦφληκα, χ' ἅτεροι τόκου
Ἐνεχυράσεσθαι e) φασιν. ΦΕΙ. Ἐτεὸν ὦ πάτερ
Τί δυσκολαίνεις, καὶ στρέφῃ τὴν νύχθ' ὅλην;

ΣΤ.

c) Schol. vet. ἱππεύεται. Sed nihil mutandum esse docuit *Ernestius* ὁ πάνυ.

d) ἐξεκόπη sensus gratia rescribunt *Küsterus* ac *Duker*.

e) Ita *Berglerus*. *al.* ἐνεχυράσασθαι.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0014-9

ΣΤ. Δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
ΦΕΙ. Ἔασον ὦ δαιμόνιε καταδαρθεῖν τί με.
ΣΤ. Σὺ δ' οὖν κάθευδε. τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
Εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.
Φεῦ. εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
Ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.
Ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
Εὐρωτιῶν, ἀκόρητος, εἰκῆ κείμενος.
Βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις,
Ἔπειτ' ἔγημα Μεγακλέους, τοῦ Μεγακλέους
Ἀδελφιδῆν, ἄγροικος ὢν, ἐξ ἄστεος,
Σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
Ταύτην ὅτ' ἐγάμουν, συγκατεκλινόμην ἐγὼ
Ὄζων τρυγὸς, τρασιᾶς, ἐρίων περιουσίας.
Ἡδ' αὖ, μύρου, κρόκου, καταγλωττισμάτων,
Δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδος.
Οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
Ἐγω δ' ἂν αὐτῇ θοιμάτιον δεικνὺς τοδὶ
Πρόφασιν, ἔφασκον, ὦ γύναι, λίαν σπαθᾷς.
ΘΕ. Ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
ΣΤ. Οἴμοι τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;
Δεῦρ' ἔλθ' ἵνα κλάῃς. ΘΕ. διατὶ δὴ κλαύσομαι; f)
ΣΤ. Ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
Μετὰ ταῦθ' ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσὶ



f) Δεῦρ' ἴθ' ἵνα κλάῃς. Διατὶ δὴ κεκλαύσομαι. *Bentlej.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0015-5

Ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τῇ ᾽γαθῇ g)
Περὶ τοὐνόματος δὴ ταῦτ᾽ ἐλοιδορούμεθα.
Ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα·
Ξάνθιππον, ἢ Χάριππον, ἢ Καλλιππίδην·
Ἐγὼ δὲ τȣ͂ πάππου τιθέμην h) Φειδωνίδην.
Τέως μὲν οὖν ἐκρινόμεθ᾽. εἶτα τῷ χρόνῳ
Κοινῇ ξυνέβημεν, κᾀθέμεθα Φειδιππίδην.
Τοῦτον τὸν υἱὸν λαμβάνουσ᾽ ἐκορίζετο.
Ὅταν σὺ, μέγας ὢν, ἅρμ᾽ ἐλαύνῃς πρὸς πόλιν,
Ὥσπερ Μεγακλέης ξυςίδ᾽ ἔχων. ἐγὼ δ᾽ ἔφην·
Ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
Ὥσπερ ὁ πατήρ σου διφθέραν ἐνημμένος.
Ἀλλ᾽ οὐκ ἐπείθετο i) τοῖς ἐμοῖς οὐδὲν λόγοις.
Ἀλλ᾽ ἵππερόν μου κατέχεε k) τῶν χρημάτων.
Νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων, ὁδοῦ
Μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ·
Ἣν ἢν ἀναπείσω τουτονὶ, σωθήσομαι.
Ἀλλ᾽ ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι
Πῶς δῆτ᾽ ἂν ἥδις᾽ αὐτόν ἐπεγείραιμι; πῶς;
Φειδιππίδη, Φειδιππίδιον. ΦΕΙ. Τί ὦ πάτερ;
ΣΤ. Κῦσόν με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
ΦΕΙ. Ἰδοὺ, τί ἐςιν; ΣΤ. εἰπέ μοι, φιλεῖς ἐμέ;
ΦΕΙ. Νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.

ΣΤ.

g) τἠγαθῇ *Lugd.*
h) ἐπιτιθέμην. vet. cod. *Lugd.*
i) ἐπιθετο *Bentlej.*
k) metri cauſſa *Dukerus* ſcribit κατεχεεν.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0016-1

ΣΤ. Μή μοιγε τοῦτον μηδαμῶς τὸν ἵππιον.
Οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
Ἀλλ᾽ εἴπερ ἐκ τῆς καρδίας μ᾽ ὄντως φιλεῖς
Ὦ παῖ, πιθοῦ. ΦΕΙ. Τί οὖν πιθοῦμαι δῆτα σοι;
ΣΤ. Ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους·
Καὶ μάνθαν᾽ ἐλθὼν ἃ ᾽ν ἐγὼ παραινέσω.
ΦΕ. Λέγε δὴ τί κελεύεις- ΣΤ. καὶ τί, πείσει; ΦΕΙ. πείσομαι
Νὴ τὸν Διόνυσον. ΣΤ. Δεῦρό νυν γ᾽ ἀπόβλεπε.
Ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
ΦΕΙ. Ὁρῶ. τί οὖν τοῦτ᾽ ἐστὶν ἐτεὸν, ὦ πάτερ;
ΣΤ. Ψυχῶν σοφῶν τοῦτ᾽ ἐστὶ φροντιστήριον.
Ἐνταῦθ᾽ ἐνοικοῦσ᾽ ἄνδρες, οἳ τὸν οὐρανὸν
Λέγοντες ἀναπείθουσιν, ὡς ἔστι πνιγεύς·
Κᾆστιν περὶ ἡμᾶς οὗτος· ἡμεῖς δ᾽ ἄνθρακες. 1)
Οὗτοι διδάσκουσ᾽, ἀργύριον ἤν τις διδῷ,
Λέγοντα νικᾷν καὶ δίκαια κἄδικα.
ΦΕΙ. Εἰσὶν δὲ τίνες; ΣΤ. Οὐκ οἶδ᾽ ἀκριβῶς τοὔνομα.
Μεριμνοφροντισταὶ, καλοί τε κἀγαθοί.
ΦΕΙ. Αἰβοῖ. πόνηροί γ᾽, οἶδα. τοὺς ἀλαζόνας,
Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις·
Ὧν ὁ κακοδαίμων Σωκράτης, καὶ Χαιρεφῶν·
ΣΤ. Ἦ, ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον



1) Quidam putat ἄνδρακες ab Aristophane scriptum esse, nouumque verbum ioci caussa fictum, quod simul ad ἄνθρακας, & ἄνδρας alluderet. Atque sic etiam in edit. vet. Basil. expressum est. Mihi non sit veri simile.

788

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0017-6

Ἀλλ᾽ εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
Τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
ΦΕΙ. Οὐκ ἂν μὰ τὸν Διόνυσον, εἰ δοίης γέ μοι
Τοὺς φασιανοὺς, οὓς τρέφει Λεωγόρας.
ΣΤ. Ἴθ᾽ ἀντιβολῶ σ᾽ ὦ φίλτατ᾽ ἀνθρώπων ἐμοὶ
Ἐλθὼν διδάσκου. ΦΕΙ. καὶ τί σοι μαθήσομαι;
ΣΤ. Εἶναι παρ᾽ αὐτοῖς φασὶν ἄμφω τὼ λόγω.
Τὸν κρείττον᾽, ὅς τίς ἐστι, καὶ τὸν ἥττονα.
Τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥσσονα,
Νικᾷν λέγοντά φασι τἀδικώτατα.
Ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
Ἃ νῦν ὀφείλω διὰ σὲ, τούτων τῶν χρεῶν
Οὐκ ἂν ἀποδοίην οὐδ᾽ ἂν ὀβολὸν οὐδενί.
ΦΕΙ. Οὐκ ἂν πιθοίμην. οὐ γὰρ ἂν τλαίην ἰδεῖν
Τοὺς ἱππέας, τὸ χρῶμα διακεκναισμένος.
ΣΤ. Οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ᾽ ἐμῶν ἔδει
Οὔτ᾽ αὐτὸς, οὔθ᾽ ὁ ζύγιος, οὔθ᾽ ὁ σαμφόρας.
Ἀλλ᾽ ἐξελῶ σ᾽ ἐς κόρακας ἐκ τῆς οἰκίας.
ΦΕΙ. Ἀλλ᾽ οὐ περιόψεταί μ᾽ ὁ θεῖος Μεγακλέης
Ἄνιππον. ἀλλ᾽ εἴσειμι, σοῦ δ᾽ οὐ φροντιῶ.

## ΔΡΑΜΑΤΟΣ ά ΣΚΗΝΗ β΄.

Τρίμετροι Ιαμβικοί.

ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΘΗΤΗΣ Η ΠΑΙΣ ΣΩΚΡΑΤΟΥΣ.

ΣΤ. Ἀλλ᾽ οὐδ᾽ ἐγὼ μέντοι πεσών γε κείσομαι.
Ἀλλ᾽ εὐξάμενος τοῖσιν θεοῖς, διδάξομαι,
Αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.

Πῶς οὖν γέρων ὢν κἀπιλήσμων, καὶ βραδὺς,
Λόγων ἀκριβῶν σκινδαλμοὺς m) μαθήσομαι;
Ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι;
Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
ΜΑ. Βάλλ' ἐς κόρακας, τίς ἔσθ' ὁ κόψας τὴν θύραν;
ΣΤ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
ΜΑ. Ἀμαθής γε νὴ Δί', ὅς τις οὑτωσὶ σφόδρα
Ἀπεριμερίμνως τὴν θύραν λελάκτικας.
Καὶ φροντίδ' ἐξήμβλωκας ἐξευρημένην.
ΣΤ. Σύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
Ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον;
ΜΑ. Ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν.
ΣΤ. Λέγε νῦν ἐμοὶ θαῤῥῶν. ἐγὼ γὰρ οὑτοσὶ
Ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
ΜΑ. Λέξω. νομίσαι δέ σε ταῦτα χρὴ μυστήρια.
Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης,
Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας.
Δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν,
Ἐπὶ τὴν κεφαλὴν τοῦ Σωκράτους ἀφήλλατο.
ΣΤ. Πῶς δῆτα τοῦτ' ἐμέτρησε; n) ΜΑ. Δεξιώτατα.
Κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν,
Ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε.
Κᾆτα ψυγείσῃ περιέφυσαν περσικαί.

Τάυ-

m) σκινδαλαμους. *Suid. Bentl.*
n) δῆτα διεμέτρησε. affert *Küsterus* e cod. Vatic. Quaedam editt. vt *Basil. Lugd. Raphel.* habent ἐμέρησε. male.

Ταύτας ὑπολύσας, ἀνεμέτρει τὸ χωρίον.
ΣΤ. Ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν.
ΜΑ. Τί δῆτ' ἂν ἕτερον εἰ πύθοιο Σωκράτους
Φρόντισμα; ΣΤ. Ποῖον; ἀντιβολῶ κάτειπέ μοι.
ΜΑ. Ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος,
Ὁπότερα τὴν γνώμην ἔχοι, τὰς ἐμπίδας
Κατὰ τὸ σόμ' ᾄδειν, ἢ κατὰ τοὐῤῥοπύγιον,
ΣΤ. Τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
ΜΑ. Ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
Στενόν. διαλέπτου δ' ὄντος αὐτοῦ, τὴν πνοὴν
Βίᾳ βαδίζειν εὐθὺ τοὐῤῥοπυγίου.
Ἔπειτα κοῖλον πρὸς ςενῷ προσκείμενον,
Τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
ΣΤ. Σάλπιγξ ὁ πρωκτός ἐςιν ἄρα τῶν ἐμπίδων;
Ὦ τρισμακάριος τοῦ διεντερεύματος.
Ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην,
Ὅςις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
ΜΑ. Πρώην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
Ὑπ' ἀσκαλαβώτου. ΣΤ. Τίνα τρόπον; κάτειπέ μοι.
ΜΑ. Ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς,
Καὶ τὰς περιφορὰς, εἶτ' ἄνω κεχηνότος,
Ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
ΣΤ. Ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
ΜΑ. Ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας·
ΣΤ. Εἶεν. τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;

ΜΑ. Κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
Κάμψας ὀβελίσκον. εἶτα διαβήτην λαβών,
Ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.
ΣΤ. Τί δῆτ᾽ ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
Ἄνοιγ᾽, ἄνοιγ᾽ ἀνύσας τὸ φροντιστήριον,
Καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτη·
Μαθητιῶ γάρ. ἀλλ᾽ ἄνοιγε τὴν θύραν.
Ὦ Ἡράκλεις. ταυτὶ ποδαπὰ τὰ θηρία;
ΜΑ. Τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν ἐοικέναι;
ΣΤ. Τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς.
Ἀτὰρ τί ποτ᾽ ἐς τὴν γῆν βλέπουσιν ὁυτουύ;
ΜΑ. Ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς. ΣΤ. Βολβοὺς ἄρα
Ζητοῦσι; μὴ νῦν τοῦτό γε φροντίζετε·
Ἐγὼ γὰρ οἶδ᾽ ἵν᾽ εἰσὶ μεγάλοι καὶ καλοί.
Τί γὰρ οἵδε δρῶσιν, οἱ σφόδρ᾽ ἐγκεκυφότες;
ΜΑ. Οὗτοι δ᾽ ἐρεβοδιφῶσιν ὑπὸ τὸν τάρταρον·
ΣΤ. Τί δῆθ᾽ ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
ΜΑ. Αὐτὸς καθ᾽ αὑτὸν ἀστρονομεῖν διδάσκεται.
Ἀλλ᾽ εἴσιθ᾽ ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.
ΣΤ. Μήπωγε, μήπωγ᾽, ἀλλ᾽ ἐπιμεινάντων, ἵνα
Αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
ΜΑ. Ἀλλ᾽ οὐχ᾽ οἷόν τ᾽ αὐτοῖσι πρὸς τὸν ἀέρα
Ἔξω διατρίβειν πολὺν ἄγαν γ᾽ ἐστὶ χρόνον.
ΣΤ. Πρὸς τῶν θεῶν τί γὰρ τάδ᾽ ἐστίν; εἰπέ μοι.
ΜΑ. Ἀστρονομία μὲν αὑτηΐ. ΣΤ. τουτὶ δὲ τί;
ΜΑ. Γεωμετρία. ΣΤ. τοῦτ᾽ οὖν τί ἐστι χρήσιμον;

ΜΑ. Γῆν ἀναμετρεῖσθαι. ΣΤ. Πότερα τὴν κληρουχικήν;
ΜΑ. Οὐκ· ἀλλὰ τὴν σύμπασαν. ΣΤ. Ἀστεῖον λέγεις.
Τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.
ΜΑ. Αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
Αἵδε μὲν Ἀθῆναι. ΣΤ. Τί σὺ λέγεις; οὐ πείθομαι.
Ἐπεὶ δικαστὰς οὐχ' ὁρῶ καθημένους.
ΜΑ. Ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον.
ΣΤ. Καὶ ποῦ Κικυννεῖς εἰσὶν οἱ 'μοὶ δημόται;
ΜΑ. Ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' Εὔβοι, ὡς ὁρᾷς,
Ἡδί. παρατέταται μακρὰ πόῤῥω πάνυ.
ΣΤ. Οἶδ'. ὑπὸ γὰρ ὑμῶν παρετάθη καὶ Περικλέους.
Ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν. ΜΑ. ὅπου 'στιν; αὐτηΐ.
ΣΤ. Ὡς ἐγγὺς ἡμῶν· τοῦτο πάνυ φροντίζετε,
Ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόῤῥω πάνυ.
ΜΑ. Ἀλλ' οὐχ' οἷόν τε νὴ Δί'. ΣΤ. Οἰμώξεσθ' ἄρα.
Φέρε. Τίς γὰρ οὗτος οὐπὶ τῆς κρεμάθρας ἀνήρ;
ΜΑ. Αὐτός. ΣΤ. τίς αὐτός; ΜΑ. Σωκράτης. ΣΤ. ὦ
Σώκρατες. o)
Ἴθ' οὗτος, ἀναβόησον αὐτόν μοι μέγα.
ΜΑ. Αὐτὸς μὲν οὖν σὺ κάλεσον. οὐ γάρ μοι σχολή.

## ΔΡΑΜΑΤΟΣ ά. ΣΚΗΝΗ γ'.

ΣΤΡΕΨΙΑΔΗΣ, ΣΩΚΡΑΤΗΣ.

ΣΤ. Ὦ Σώκρατες
Ὦ Σωκρατίδιον. ΣΩ. τί με καλεῖς ὦ 'φήμερε;
ΣΤ. Πρῶτον μὲν ὅ, τι δρᾷς, ἀντιβολῶ, κάτειπέ μοι.

ΣΩ.

o) Σωκράτης. ΣΤ. Τί; Σωκράτης. *Bentlej.*

ΣΩ. Ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.
ΣΤ. Ἔπειτ᾽ ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς·
Ἀλλ᾽ οὐκ ἀπὸ τῆς γῆς, εἴπερ; — ΣΩ. Οὐ γὰρ ἄν ποτε
Ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
Εἰ μὴ κρεμάσας τὸ νόημα, καὶ τὴν φροντίδα
Λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
Εἰ δ᾽ ὢν χαμαὶ, τ᾽ ἄνω κάτωθεν ἐσκόπουν,
Οὐκ ἄν ποθ᾽ εὗρον. οὐ γὰρ ἀλλ᾽ ἡ γῆ βίᾳ
Ἕλκει πρὸς αὐτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
Πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
ΣΤ. Τί φῄς; ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ᾽ εἰς τὰ κάρδαμα;
Ἴθι νυν, κατάβηθ᾽, ὦ Σωκρατίδιον, ὡς ἐμὲ,
Ἵνα μ᾽ ἐκδιδάξῃς ὧνπερ οὕνεκ᾽ ἐλήλυθα.
ΣΩ. Ἦλθες δὲ κατὰ τί; ΣΤ. Βουλόμενος μαθεῖν λέγειν.
Ὑπὸ γὰρ τόκων, χρήστων τε δυσκολωτάτων,
Ἄγομαι, φέρομαι, τὰ χρήματ᾽ ἐνεχυράζομαι·
ΣΩ. Πόθεν δ᾽ ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
ΣΤ. Νόσος μ᾽ ἐπέτριψεν ἱππικὴ, δεινὴ φαγεῖν.
Ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
Τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ᾽ ὅντιν᾽ ἂν
Πράττῃ μ᾽, ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
ΣΩ. Ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
Ἡμῖν νόμισμ᾽ οὐκ ἔστι. ΣΤ. Τῷ γὰρ ὄμνυτ᾽; ἢ
Σιδαρέοισιν ὥσπερ ἐν Βυζαντίῳ;
ΣΩ. Βούλει τὰ θεῖα πράγματ᾽ εἰδέναι σαφῶς,

Ἀττ᾽ ἐστὶν ὀρθῶς; ΣΤ. Νὴ Δί᾽, εἴπερ ἐστί γε.
ΣΩ. Καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν εἰς λόγους
Ταῖς ἡμετέραισι δαίμοσιν; ΣΤ. Μάλιστά γε.
ΣΩ. Κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
ΣΤ. Ἰδοὺ κάθημαι. ΣΩ. τουτονὶ τοίνυν λαβὲ
Τὸν στέφανον. ΣΤ. Ἐπὶ τί στέφανον; οἴμοι Σώκρατες.
Ὥσπερ μὲ τὸν Ἀθάμανθ᾽ ὅπως μὴ θύσετε.
ΣΩ. Οὐκ, ἀλλὰ πάντα ταῦτα τοὺς τελουμένους
Ἡμεῖς ποιοῦμεν. ΣΤ. Εἶτα δὴ τί κερδανῶ;
ΣΩ. Λέγειν γενήσει τρίμμα, κρόταλον, παιπάλη.
Ἀλλ᾽ ἔχ᾽ ἀτρέμας. ΣΤ. Μὰ τὸν Δί᾽, οὐ ψεύσει γέ με,
Καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ ιβ΄.

Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ,

ΣΩ. Εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν.
Ὦ δέσποτ᾽ ἄναξ, ἀμέτρητ᾽ ἀὴρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
Λαμπρὸς τ᾽ αἰθὴρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι
Ἄρθητε, φάνητ᾽, ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.
ΣΤ. Μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.

Τὸ δὲ μὴ κυνῆν p) οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον᾽ ἔχοντα.

ΣΩ. Ἔλθετε δῆτ᾽ ὦ πολυτίμητοι Νεφέλαι, τῷδ᾽ εἰς ἐπίδειξιν·

Εἴτ᾽ ἐπ᾽ Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε·

Εἴτ᾽ Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε νύμφαις,

Εἴτ᾽ ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέοις ἀρύεσθε πρόχουσιν, q)

Ἢ Μαιῶτιν λίμνην ἔχετ᾽, ἢ σκόπελον νιφόεντα Μίμαντος·

Ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

ΔΡΑΜΑΤΟΣ ά. ΣΚΗΝΗ δ΄.

ΧΟΡΟΣ, Η ΝΕΦΕΛΑΙ, ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

ΧΟ. Ἀέναοι Νεφέλαι,

Ἀρθῶμεν φανεραί,

Δροσερὰν φύσιν εὐάγητον, r)

Πατρὸς ἀπ᾽ Ὠκεανοῦ βαρυαχέος



p) metri caussa *Bentleius* reponit: τὸ δὲ μὴ κυνεήν. *Kusterus* autem τὸ δὲ μηδὲ κυνῆν. Postea pro κακοδαίμον᾽ Mss. *Vat.* habet δύςηνον.

q) *χρυσοῖς ἀρύτεσθε πρόχουσιν Bentlej.* χρυσέαις ἀρύεσθε προχοῆσι Thomas magist. Abiicit autem hanc lectionem *Spanhem.*

r) *Bentl.* coniicit legendum esse εὐγάθητοι, vel εὐάντητοι. *Toupius* vero legit εὐάγητοι. Recte.

Ὑψηλῶν ὀρέων κορυφὰς ἔπι
Δενδροκόμους· ἵνα
Τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
Καρπούς τ' ἀρδομέναν θ' ἱεραν χθόνα
Καὶ ποταμῶν ζαθέων κελαδήματα,
Καὶ πόντον κελάδοντα βαρύβρομον.
Ὄμμα γὰρ αἰθέρος ἀ-
κάματον σελαγεῖται,
Μαρμαρέαισιν ἐν αὐγαῖς.
Ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
Ἀθανάταις ἰδέαις ἐπιδώμεθα
Τηλεσκόπῳ ὄμματι γαῖαν.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ, ΣΤΙΧΩΝ ζ'.

ΣΩ. Ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος
Ἤθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;
ΣΤ. Καὶ σέβομαί γ' ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
Πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι
Κ' εἰ θέμις ἐςὶ νυνὶ γ' ἤδη, κ' εἰ μὴ θέμις ἐςὶ, χεσείω.
ΣΩ. Οὐ μὴ σκώψῃς, μὴ δὲ ποιήσῃς, ἅπερ οἱ τρυγοδαίμονες οὗτοι.
Ἀλλ' εὐφήμει. μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

ΑΝΤΩΔΗ ΚΩΛΩΝ ιϛʹ.

ΧΟ. Παρθένοι ὀμβροφόροι
Ἔλθωμεν λιπαρὰν
Χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον·
Οὗ σέβας ἀῤῥήτων ἱερῶν, ἵνα
Μυστοδόκος δόμος
Ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται.
Οὐρανίοις τε θεοῖς δωρήματα,
Ναοί θ' ὑψιρεφεῖς, καὶ ἀγάλματα,
Καὶ πρόσοδοι μακάρων ἱερώταται.
Εὐστέφανοί τε θεῶν
Θυσίαι, θαλίαί τε,
Παντοδαπαῖσιν ἐν ὥραις,
Ἦρι τ' ἐπερχομένῳ, βρομία χάρις,
Εὐκελάδων τε χορῶν ἐρεθίσματα,
Καὶ μοῦσα βαρύβρομος αὐλῶν.

ΣΤ. Πρὸς τοῦ Διὸς ἀντιβολῶ σε, φράσον τίνες εἴσ' ὦ Σώκρατες, αὗται,
Αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;

ΣΩ. Ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς,
Αἵπερ γνώμην καὶ διάλεξιν καὶ νοῦν ἡμῖν παρέχουσιν,
Καὶ τερατείαν, καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.

ΣΤ. Ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,
Καὶ λεπτολογεῖν ἤδη ζητεῖ. καὶ περὶ καπνοῦ στενολεσχεῖν,
Καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι.
Ὥστ' εἴ πως ἐστὶν ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.
ΣΩ. Βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθ'. ἤδη γὰρ ὁρῶ κατιούσας
Ἥσυχ' αὐτάς· s) ΣΤ. Φέρε ποῦ; δεῖξον. ΣΩ. χωροῦσ' αὗται πάνυ πολλαὶ,
Διὰ τῶν κοίλων καὶ τῶν δασέων αὗται πλάγιαι. ΣΤ. τί τὸ χρῆμα;
Ὡς οὐ καθορῶ. ΣΩ. παρὰ τὴν εἴσοδον. ΣΤ. ἤδη νῦν μόλις ὁρῶ. t)
ΣΩ. Νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κολοκύνταις. u)
ΣΤ. Νὴ Δί' ἔγωγ' ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατέχουσι.
ΣΩ. Ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ἤδεις, οὐδ' ἐνόμιζες;
ΣΤ. Μὰ Δί' ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ σκιὰν εἶναι

ΣΤ.

s) al. ἥσυχα ταύτας.
t) al. ἤδη νῦν καὶ μόλις ἀθρῶ.
u) κολοκύντας.

ΣΩ. Οὐ γὰρ μὰ Δί' οἶσθ' ὅτιὴ πλείστους αὗται βόσκουσι σοφιστὰς,
Θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,
Κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας,
Οὐδὲν δρῶντας βόσκουσ' ἀργοὺς, ὅτι ταύτας μουσοποιοῦσιν.
ΣΤ. Ταῦτ' ἄρ' ἐπόιουν ὑγρᾶν Νεφελᾶν στρεπταιγλᾶν δάϊον ὁρμὰν,
Πλοκάμους θ' ἑκατογκέφαλα Τυφῶ, πρημαινούσας x) τε θυέλλας,
Εἶτ' ἀερίας, διερὰς, γαμψοὺς οἰωνοὺς, ἀερονηχεῖς,
Ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν. εἶτ' ἀντ' αὐτῶν κατέπινον
Κεστρᾶν τεμάχη μεγάλαν ἀγαθᾶν, κρεά τ' ὀρνίθειά γε κιχλᾶν· y)
ΣΩ. Διὰ μέν τοι τάς δ' οὐχὶ δικαίως; ΣΤ. λέξον δή μοι, τί παθοῦσαι,
Εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν;
Οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται. ΣΩ. φέρε ποῖαι γάρ τινές εἰσιν;

ΣΤ.

x) πρημνέσας alii.
y) *Küster.* metri caussa mauult κρέα τ' ὀρνίθεια τε κιχλᾶν. *Bentlej.* autem: κρέα τ' ὀρνιθήϊα κιχλᾶν.

ΣΤ. Οὐκ οἶδα σαφῶς. εἴξασιν γ' οὖν ἐρίοισιν πεπταμένοισιν,
Κοὐχὶ γυναιξὶν μὰ Δί' οὐδ' ὁτιοῦν· αὗται δὲ z) ῥῖνας ἔχουσιν.
ΣΤ. Ἀπόκριναι νῦν ἅττ' ἂν σ' ἔρομαι. ΣΤ. λέγε νῦν ταχέως ὅ, τι βούλει.
ΣΩ. Ἤδη πότ' ἀναβλέψας εἶδες Νεφέλην κενταύρῳ ὁμοίαν;
Ἢ παρδάλει, ἢ λύκῳ, ἢ ταύρῳ; ΣΤ. Νὴ Δί', ἔγωγ'. εἶτα τί τοῦτο;
ΣΩ. Γίνονται πάνθ' ὅ, τι ἂν βούλωνται. κᾂν μὲν ἴδωσι κομήτην a)
Ἄγριόν τινα τῶν λασίων τούτων, οἷόν περ τὸν Ξενοφάντου,
Σκώπτουσαι τὴν μανίαν αὐτοῦ, κενταύροις εἴκασαν αὐτάς.
ΣΤ. Τί γὰρ ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα, τί δρῶσιν;
ΣΩ. Ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ, λύκοι ἐξαίφνης ἐγένοντο.
ΣΤ. Ταῦτ' ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι,
Ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ' ἐγένοντο.

ΣΩ.

z) cod. *Vatic.* inserit γε.
a) *Küster* lect. cod. *Vatic.* praefert: Γίνονται πᾶν ὅ, τι βȣ́λονται· κᾆτ' εἰ μὲν ἴδωσι κομήτην.

ΣΩ. Καὶ νῦν ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες.
ΣΤ. Χαίρετε τοίνυν γ' ὦ δέσποιναι· καὶ νῦν, εἴπερ τινὶ κἄλλῳ,
Οὐρανομήκη ῥήξατε κἀμοὶ φωνὴν, ὦ παμβασίλειαι.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ, ΣΤΙΧΩΝ νδ'.

ΧΟ. Χαῖρ' ὦ πρεσβῦτα παλαιγενὲς, ὦ b) θηρατὰ λόγων φιλομούσων·
Σύ τε λεπτοτάτων λήρων ἱερεῦ. φράζε πρὸς ἡμᾶς ὅ, τι χρήζεις.
Οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσωμεν τῶν νῦν μετεωροσοφιστῶν,
Πλὴν ἢ Προδίκῳ. τῷ μὲν, σοφίας καὶ γνώμης οὕνεκα· σοὶ δὲ,
Ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς καὶ τὼ 'φθαλμὼ παραβάλλει,
Κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει, κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.
ΣΤ. Ὦ γῆ τοῦ φθέγματος· ὡς ἱερὸν, καὶ σεμνὸν, c) καὶ τερατῶδες.
ΣΩ. Αὗται γάρ τοι μόναι εἰσὶ θεαί· τἄλλα δὲ πάντ' ἐστὶ φλύαρος.
ΣΤ. Ὁ Ζεὺς δ' ἡμῖν, φέρε πρὸς τῆς γῆς, οὐλύμπιος οὐ θεός ἐστιν;



b) in aliis abest ὦ.
c) Cod. *Vatic.* τέρπνον.

ΣΩ. Ποῖος Ζεὺς; οὐ μὴ ληρήσῃς, οὐδ' ἐστὶ Ζεύς. ΣΤ. τί λέγεις σύ;
Ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἐμοί γ' ἀπόφηναι πρῶτον ἁπάντων.
ΣΩ. Αὗται δήπου· μεγάλοις δέ σ' ἐγὼ σημείοις αὐτὸ διδάξω.
Φέρε. ποῦ γὰρ πώποτ' ἄνευ Νεφελῶν ὕοντ' ἤδη τεθέασαι;
Καί τοι 'χρῆν αἰθρίας ὕειν αὐτόν. ταύτας δ' ἀποδημεῖν·
ΣΤ. Νὴ τὸν Ἀπόλλω, d) τούτῳ γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας.
Καί τοι πρότερον τὸν Δί' ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.
Ἀλλ' ὅς τις ὁ βροντῶν ἐστι, φράσον. τοῦτό με ποιεῖ τετρεμαίνειν.
ΣΩ. Αὗται βροντῶσι κυλινδόμεναι. ΣΤ. τῷ τρόπῳ, ὦ πάντα σὺ τολμῶν;
ΣΤ. Ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ κἀναγκασθῶσι φέρεσθαι,
Κᾆτα κρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι
Εἰς ἀλλήλας ἐμπίπτουσαι, ῥήγνυνται καὶ παταγοῦσιν.
ΣΤ. Ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτὰς; οὐχ ὁ Ζεὺς, ὥστε φέρεσθαι;

ΣΩ.

d) τοῦτο *Bergler*; qui & cum aliis v. 376. leg. κατακρημν.

ΣΩ. Ἤκιστ᾽, ἀλλ᾽ αἰθέριος δῖνος. ΣΤ. Δῖνος; τουτί μ᾽ ἐλελήθει,
Ὁ Ζεὺς οὐκ ὤν, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ Δῖνος νυνὶ βασισιλεύων;
Ἀτὰρ οὐδέπω περὶ τοῦ πατάγου e) καὶ τῆς βροντῆς μ᾽ ἐδίδαξας.
ΣΩ. Οὐκ ἤκουσάς μου; τὰς Νεφέλας ὕδατος μεστὰς ὅτι φημί,
Ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνότητα;
ΣΤ. Φέρε τουτὶ τῷ χρὴ πιστεύειν; ΣΩ. ἀπὸ σαυτοῦ ᾽γώ σε διδάξω.
Ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθεὶς, εἶτ᾽ ἐταράχθης
Τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησεν;
ΣΤ. Νὴ τὸν Ἀπόλλω, καὶ δεινὰ ποιεῖ γ᾽ εὐθύς μοι καὶ τετάρακται.
Χ᾽ ὥσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ, καὶ δεινὰ κέκραγεν.
Ἀτρέμας πρῶτον, παππάξ. κᾆπειτ᾽ ἐπάγει παπαπαππάξ.
Χ᾽ ὥταν χέζω, κομιδῆ βροντᾷ παπαπαππὰξ, ὥσπερ ἐκεῖναι.



e) Versus fulciendi caussa legit *Küsterus*: Ἀτὰρ οὔπω συ γε περὶ τοῦ πατάγου. *Dukerus* autem suspicatur: ἀτὰρ οὐδὲν πω.

ΣΩ. Σκέψαι τοίνυν γ' ἀπὸ γαστριδίου τυνουτουὶ οἷα πέπορδας.
Τὸν δ' ἀέρα τόν δ' ὄντ' ἀπέραντον, πῶς οὐκ εἰκὸς μέγα βροντᾶν;
Ταῦτ' ἄρα καὶ τὼ 'νόματ' ἀλλήλοιν, βροντὴ καὶ πορδὴ, ὁμοίω.
ΣΤ. Ἀλλ' ὁ κεραυνὸς πόθεν αὖ φέρεται, λάμπων πυρί; τοῦτο δίδαξον.
Καὶ καταφρύγει βάλλων ὑμᾶς, τοὺς δὲ ζῶντας περιφλύει.
Τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ' ἐπὶ τοὺς ἐπιόρκους.
ΣΩ. Καὶ πῶς, ὦ μῶρε σὺ, καὶ Κρονίων ὄζων, καὶ βεκκεσέληνε,
Εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' f) οὐχὶ Σίμων' ἐνέπρησεν,
Οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον; καί τοι σφόδρα γ' εἴσ' ἐπίορκοι;
Ἀλλὰ τὸν αὑτοῦ γε νεὼν βάλλει, καὶ Σούνιον ἄκρον Ἀθηναίων, g)
Καὶ τὰς δρῦς τὰς μεγάλας. τί παθών; οὐ γὰρ δὴ δρῦς ἐπιορκεῖ.
ΣΤ. Οὐκ οἶδ'. ἀτὰρ εὖ σὺ λέγειν φαίνει. τί γάρ ἐστιν δῆθ' ὁ κεραυνός;

ΣΩ.

f) δῆτ' recte abest a cod. *Vatic.*

g) *Küsterus* rescribit Ἀθηνῶν.

ΣΩ. Ὅταν εἰς αὐτὰς ἄνεμος ξηρὸς μετεωρισθεὶς κατακλεισθῇ,
Ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ. κᾆπειθ᾽ ὑπ᾽ ἀνάγκης
Ῥήξας αὐτὰς, ἔξω φέρεται σοβαρὸς, διὰ τὴν πυκνότητα,
Ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης, αὐτὸς ἑαυτὸν κατακάιων.
ΣΤ. Νὴ Δί᾽, ἔγωγ᾽ οὖν ἀτεχνῶς ἔπαθον τουτί ποτε Διασίοισιν,
Ὤπτων γαστέρα τοῖς συγγένεσιν, κᾆτ᾽ οὐκ ἔσχων ἀμελήσας.
Ἡ δ᾽ ἄρ᾽ ἐφυσσᾶτ᾽, εἶτ᾽ ἐξαίφνης διαλακήσασα πρὸς αὐτὼ
Τὼ ᾽φθαλμώ μου προσετίλησεν, καὶ κατέκαυσεν τὸ πρόσωπον.

## ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ κζ'.
## ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

ΣΩ. Ὦ τῆς μεγάλης σοφίας ἐπιθυμήσας ἄνθρωπε παρ᾽ ἡμῶν,
Ὡς εὐδαίμων ἐν Ἀθηναίοις καὶ τοῖς Ἕλλησι γενήσει,
Εἰ μνήμων εἶ καὶ φροντιστὴς, καὶ τὸ ταλαίπωρον ἔνεστιν
Ἐν τῇ ψυχῇ. καὶ μὴ κάμνεις, μήθ᾽ ἑστὼς, μήτε βαδίζων,

Μήτε

Μήτε γε ῥιγῶν ἄχθει λίαν, μήτε γ᾽ ἀριστᾷν ἐπιθυμεῖς.
Οἴνου τ᾽ ἀπέχει, καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων. h)
Καὶ βέλτιστον τοῦτο νομίζεις, ὅπερ εἰκὸς δεξιὸν ἄνδρα,
Νικᾷν πράττων καὶ βουλεύων, καὶ τῇ γλώττῃ πολεμίζων.
ΣΤ. Ἀλλ᾽ ἕνεκέν γε ψυχῆς στεῤῥᾶς, δυσκολοκοίτου τε μερίμνης,
Καὶ φειδωλοῦ, καὶ τρυσιβίου γαστρὸς, καὶ θυμβρεπιδείπνου,
Ἀμέλει θαῤῥῶν, ἕνεκα i) τούτων ἐπιχαλκεύειν παρέχοιμ᾽ ἄν.
ΣΩ. Ἄλλο τι δῆτ᾽ οὐ νομιεῖς εἶναι θεὸν οὐδένα, πλὴν ἅπερ ἡμεῖς·

Τὸ

h) Hi verſus, vt iam *Küſterus* obſeruauit apud DIOGENEM LAERTIVM lib. II. ſ. 27. ſic leguntur:

Ὦ τῆς μεγάλης ἐπιθυμήσας σοφίας ἄνθρωπε δικαίως.
Ὡς εὐδαίμων παρ᾽ Ἀθηναίοις καὶ τοῖς ἄλλοισι διάξῃς,
Εἰ μνήμων καὶ φροντιστὴς καὶ τὸ ταλαίπωρον ἔνεστιν
Ἐν τῇ γνώμῃ κοὐκ ἔτι κάμνεις, οὔθ᾽ ἑστὼς οὔδε βαδίζων
Οὔτ᾽ ἂν ῥιγῶν ἄχθῃ λίαν, οὔτ᾽ ἀρίστων ἐπιθυμεῖς
Οἴνου τ᾽ ἀπέχει κ᾽ ἀδδηφαγίας καὶ τῶν ἄλλων ἀνοήτων.

Hic a librariis quaedam eſſe mutata non facile negem; ſuſpicari tamen auſim DIOG. LAERTIVM iſta ex altera illa Nubium editione ἐκ ταῖς προτέραις Νεφέλαις deſcripſiſſe; niſi forte memoriter tantum nullo libro adhibito, verſus iſtos excitauit.

i) εἵνεκα cod. *Vatic.*

Τὸ Χάος τουτὶ, καὶ τὰς Νεφέλας, καὶ τὴν Γλῶτταν, τρία ταυτί.
ΣΤ. Οὐδ' ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις, οὐδ' ἂν ἀπαντῶν·
Οὐδ' ἂν θύσαιμ', οὐδ' ἂν σπείσαιμ', οὐδ' ἐπιθείην λιβανωτόν.
ΧΟ. Λέγε νῦν ἡμῖν, ὅ, τι σοι δρῶμεν, θαῤῥῶν, ὡς οὐκ ἀτυχήσεις,
Ἡμᾶς τιμῶν καὶ θαυμάζων, καὶ ζητῶν δεξιὸς εἶναι.
ΣΤ. Ὦ δέσποιναι, δέομαι τοίνυν γ' ὑμῶν, τουτὶ πάνυ μικρὸν,
Τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίοισιν ἄριστον.
ΧΟ. Ἀλλ' ἔσται σοι τοῦτο παρ' ἡμῶν· ὥστε τὸ λοιπόν γ' ἀπὸ τουδὶ
Ἐν τῷ δήμῳ γνώμας k) οὐθεὶς νικήσει πλείονας, ἢ σύ.
ΣΤ. Μή μοί γε λέγειν γνώμας μεγάλας· οὐ γὰρ τούτων ἐπιθυμῶ.
Ἀλλ' ὅσ' ἐμαυτῷ στρεψοδικῆσαι, καὶ τοὺς χρήστας διολισθεῖν.
ΧΟ. Τεύξει τοίνυν γ', ὧν ἱμείρεις· οὐ γὰρ μεγάλων ἐπιθυμεῖς.

Ἀλλὰ

k) μεγάλας hic in quibusdam editionibus addebatur, ſed abeſt a *Suida* & cod. *Vat.*

Ἀλλὰ σεαυτὸν παράδος θαῤῥῶν τοῖς ἡμετέροις προπόλοισιν.

ΣΤ. Δράσω τοῦθ᾽, ὑμῖν πιςεύσας. ἡ γὰρ ἀνάγκη με πιέζει,
Διὰ τοὺς ἵππους τοὺς κοππατίας, καὶ τὸν γάμον ὅς μ᾽ ἐπέτριψεν.

## ΔΡΑΜΑΤΟΣ ά. ΣΚΗΝΗ έ.

### ΣΤΡΕΨΙΑΔΗΣ ΜΟΝΟΣ.

Νῦν οὖν χρήσθων ἀτεχνῶς ὅτι βούλονται.
Τουτὶ τό γ᾽ ἐμὸν σῶμ᾽ αὐτοῖσι
Παρέχω τύπτειν, πεινῆν, διψῆν,
Ἀυχμεῖν, ῥιγοῦν, ἀσκὸν δέρειν. l)
Ειπερ τὰ χρέα διαφευξοῦμαι,
Τοῖς ἀνθρώποις τ᾽ εἶναι δόξω
Θρασὺς, εὔγλωττος, τολμηρὸς, ἴτης,
Βδελυρὸς, ψευδῶν συγκολλητὴς,
Ἑυρεσιεπὴς, m) περίτριμμα δικῶν,
Κύρβις, κρόταλον, κίναδος, τρύμη, n)
Μάσθλης, εἴρων, γλοιὸς, ἀλαζὼν,
Κέντρων, μιαρὸς,
Στρόφις, ἀργαλέος, ματιολοιχός. o)
Ταῦτ᾽ εἴ με λέγουσιν ἀπαντῶντες

Δρώ-

l) δαίρειν Mſc. *Arundel.* δείρειν *Scalig.*
m) εὑρησιεπὴς Mſc. *Arundel. Bentl.* εὐρεσσιεπὴς *Scalig.*
n) al. ῥύμη.
o) ματαιολοιχὸς *Heſych.* ματτυολοιχὸς *Bentlej.*

Δρώντων ἀτεχνῶς ὅ, τι χρήζουσι.
Κ'εἰ βούλονται, νὴ τὴν Δήμη-
τρ', ἐκ μοῦ χορδὴν
Τοῖς φροντισταῖς παραθέντων.

## ΔΡΑΜΑΤΟΣ ά. ΣΚΗΝΗ ϛ'.

### ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΧΟΡΟΣ.

ΣΩ. p) Λῆμα μὲν πάρεστι τῶδε
Οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον. ἴθι δ' ὡς
Ταῦτα μαθὼν παρ' ἐμοῦ,
Κλέος οὐρανόμηκες
Ἐν βροτοῖσιν ἕξεις.
ΣΤ. Τί πείσομαι;
ΣΩ. Τὸν πάντα χρόνον μετ' ἐμοῦ,
Ζηλωτότατον βίον ἀν-
θρώπων διάξεις.
ΣΤ. Ἆράγε τοῦτ' ἄρ' ἐγὼ
Πότ' ὄψομαι;
ΣΩ. Ὥς τε σοῦ πολλοὺς
Ἐπὶ ταῖσι θύραις
Ἀεὶ καθῆσθαι,
Βουλομένους ἀνακοινοῦσθαι
Τέ, καὶ ἐς λόγον ἐλθεῖν,
Πράγματα κἀντιγραφὰς
Πολλῶν ταλάντων



q) omnia quae ab hoc versu vsque ad v. 476. Socrati tribuuntur *Choro* adscribenda esse censet *Bentlej*.

Ἄξια σῇ φρενὶ
Συμβουλευσομένους μετὰ σοῦ.
ΧΟ. Ἀλλ' ἐγχείρει τὸν πρεσβύτην, ὅ, τι περ μέλλεις, προδιδάσκειν,
Καὶ διακίνει τὸν νοῦν αὐτοῦ, καὶ τῆς γνώμης ἀποπειρῶ.
ΣΩ. Ἄγε δὴ κάτειπέ μοι σὺ τὸν σαυτοῦ τρόπον,
Ἵν' αὐτὸν εἰδὼς, ὅς τις ἐστὶ, μηχανὰς
Ἤδη 'πὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω.
ΣΤ. Τί δέ, τειχομαχεῖν μοι διανοεῖ πρὸς τῶν θεῶν;
ΣΩ. Οὐκ. ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι,
Εἰ μνημονικὸς εἶ; ΣΤ. Δύο τρόπω, νὴ τὸν Δία·
Εἰ μέν γ' ὀφείλεταί μοι, μνήμων ὢν πάνυ· q)
Ἐὰν δ' ὀφείλω, σχέτλιος ἐπιλήσμων πάνυ.
ΣΩ. Ἔνεστι δῆτά σοι λέγειν ἐν τῇ φύσει;
ΣΤ. Λέγειν μὲν οὐκ ἔνεστ', ἀποστερεῖν δ' ἔνι.
ΣΩ. Πῶς οὖν δυνήσει μανθάνειν; ΣΤ. Ἀμέλει καλῶς.
ΣΩ. Ἄγε νῦν, ὅπως, ὅταν τι προβάλωμαι σοφὸν
Περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσει. r)
ΣΤ. Τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;
ΣΩ. Ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.
Δέδοικά σ' ὦ πρεσβῦτα, μὴ πληγῶν δέῃ.
Φέρ' ἴδω τί δρᾷς, ἤν τις σε τύπτῃ; ΣΤ. Τύπτομαι.
Κᾆπειτ' ἐπισχὼν ὀλίγον, ἐπιμαρτύρομαι.

Εἶτ'

q) ὀφείλεταί τι μοι μνήμων πάνυ. cod. *Vat.* τι addendum censent etiam *Bentlej.* & *Ducker*, ὢν vero *Bergl.* eiicit.
r) ὑφαρπάσεις cod. *Vatic.* συναρπάσει schol vet.

Εἶτ᾽ αὖθις ἀκαρῆ διαλιπὼν, δικάζομαι.
ΣΩ. Ἴθι νῦν, κατάθου θοἰμάτιον. ΣΤ. Ἠδίκηκά τι;
ΣΩ. Οὔκ. ἀλλὰ γυμνοὺς εἰσιέναι νομίζεται.
ΣΤ. Ἀλλ᾽ οὐχὶ φωράσων ἔγω γ᾽ εἰσέρχομαι.
ΣΩ. Κατάθου. τί ληρεῖς; ΣΤ. εἰπὲ δὴ νῦν μοι τοδί.
Ἢν ἐπιμελὴς ὦ, καὶ προθύμως μανθάνω,
Τῷ τῶν μαθητῶν ἐμφερὴς γενήσομαι;
ΣΩ. Οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.
ΣΤ. Οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι;
ΣΩ. Οὐ μὴ λαλήσῃς, ἀλλ᾽ ἀκολουθήσῃς ἐμοὶ,
Ἀνύσας τὶ, δευρὶ θᾶττον ΣΤ. Ἐς τὼ χεῖρέ νυν
Δός μοι μελιτοῦταν s) πρότερον. ὡς δέδοικ᾽ ἐγὼ,
Εἴσω καταβαίνων, ὥσπερ ἐς Τροφωνίου.
ΣΩ. Χώρει τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

## ΚΟΜΜΑΤΙΟΝ ΚΩΛΩΝ η΄.

## ΧΟΡΟΣ.

ΧΟ. Ἀλλ᾽ ἴθι χαίρων· τῆς ἀνδρείας
Ἕινεκα ταύτης,
Εὐτυχία γένοιτ᾽ ἀν-
θρώπῳ, ὅτι προήκων
Ἐς βαθὺ τῆς ἡλικίας,
Νεωτέροις τὴν φύσιν αὐτοῦ
Πράγμασι χρωτίζεται,
Καὶ σοφίαν ἐπασκεῖ.



s) μελιτοῦσαν Msc. *Arundel.* μελιττοῦσαν metri ratio aspernatur.

## ΧΟΡΟΥ ΠΑΡΑΒΑΣΙΣ ΚΩΛΩΝ με'.

### Τροχαϊκοὶ Καταληκτικοί.

Ὦ θεώμενοι, κατερῶ πρὸς γ' ὑμᾶς ἐλευθέρως
Τἀληθῆ, νὴ τὸν Διόνυσον, τὸν ἐκθρέψαντά με
Οὕτω νικήσαιμ' ἔγωγε t) καὶ νομιζοίμην σοφὸς,
Ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιοὺς,
Καὶ ταύτην σοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,
Πρώτους ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι
Ἔργον πλεῖστον. εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
Ἡττηθεὶς οὐκ ἄξιος ὤν. ταῦτ' οὖν ὑμῖν μέμφομαι
Τοῖς σοφοῖς, ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην·
Ἀλλ' οὐδ' ὣς ὑμῶν ποθ' ἑκὼν προδώσω τοὺς δεξιούς. u)
Ἐξότου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷς ἡδὺ καὶ λέγειν,
Χ' ὡ σώφρων τέ χ' ὡ καταπύγων ἄριστ' ἠκουσάτην.
Κἀγὼ (παρθένος γὰρ ἔτ' ἦν, κοὐκ ἐξῆν πώ μοι τε-
κεῖν)
Ἐξέθηκα, παῖς δ' ἑτέρα τις λαβοῦσ' ἀνείλετο,
Ὑμεῖς δ' ἐξεθρέψατε γενναίως, κἀπαιδεύσατε·
Ἐκ τούτου μοι πιστὰ παρ' ὑμῖν γνώμης ἔσθ' ὅρκια.
Νῦν οὖν, Ἠλέκτραν κατ' ἐκείνην, ἥδ' ἡ κωμῳδία
Ζητοῦσ' ἦλθεν, ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σο-
φοῖς,

(Γνώ-

t) *Bentlej.* ex versus ratione legendum existimat νικήσαιμι γ' ἐγώ.

u) *Küsterus* ita reponit:
ἀλλ' οὐδ' ὣς ὑμῶν προδώσω ποθ' ἑκὼν τοὺς δεξίους.

Γνώσεται γὰρ, ἤνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.
Ὡς δὲ σώφρων ἐστὶ φύσει, σκέψασθ᾽· ἥτις πρῶτα μὲν
Οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον,
Ἐρυθρὸν ἐξ ἄκρου, παχὺ, τοῖς παιδίοις ἵν᾽ ᾖ γέλως·
Οὐδ᾽ ἔσκωψε τοὺς φαλακροὺς, οὐδὲ κόρδαχ᾽ εἵλκυσεν.
Οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη, τῇ βακτηρίᾳ
Τύπτει τὸν παρόντ᾽, ἀφανίζων πονηρὰ σκώμματα·
Οὐδ᾽ εἰσῆξε δᾷδας ἔχουσ᾽. οὐδ᾽ ἰοὺ, ἰοὺ βοᾷ.
Ἀλλ᾽ αὐτῇ καὶ τοῖς ἔπεσιν πιστεύουσ᾽ ἐλήλυθεν.
Κἀγὼ μὲν τοιοῦτος ἀνὴρ ὢν ποιητὴς, οὐ κομῶ,
Οὐδ᾽ ὑμᾶς ζητῶ ᾽ξαπατᾷν, δὶς καὶ τρὶς ταὔτ᾽ εἰσάγων.
Ἀλλ᾽ αἰεὶ καινὰς ἰδέας εἰσφέρω, x) σοφίζομαι,
Οὐδὲν ἀλλήλαισιν ὁμοίας, καὶ πάσας δεξιάς.
Ὃς μέγιστον ὄντα Κλέων᾽ ἔπαισ᾽ ἐς τὴν γαστέρα,
Κοὐκέτ᾽ εἰσαῦθις γ᾽ ἐπεπήδησά γ᾽ αὐτῷ κειμένῳ. y)
Οὗτοι δ᾽, ὡς ἅπαξ παρέδωκεν λαβὴν Ὑπέρβολος,
Τοῦτον δείλαιον κολετρῶσ᾽ αἰεὶ, καὶ τὴν μητέρα.
Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν,
Ἐκστρέψας τοὺς ἡμετέρους ἱππέας κακὸς κακῶς,
Προσθεὶς αὐτῷ γραῦν μεθύσην, τοῦ κόρδακος οὕνεκα.

Ἦν

x) εἰσφέρων cod. *Vatic.*

y) Hunc versum *Bentlej.* adhibita *Suidae* citatione (v. ἐμπηδῆσαι) sic refingit, ingeniosa pariter ac probabili coniectura.

Κοὐκ ἔτλησ᾽ αὖθις γ᾽ ἐπιπηδῆσαι γ᾽ αὐτῷ κειμένῳ.

Ἦν z) Φρύνιχος πάλαι πεποίηχ', ἣν τὸ κῆτος ἤσθιεν.
Εἶθ' Ἕρμιππος αὖθις a) πεποίηκεν εἰς Ὑπέρβολον·
Ἄλλοι τ' ἤδη πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον.
Τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
Ὅς τις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω.
Ἢν δ' ἐμοὶ καὶ τοῖσιν ἐμοῖς εὐφραίνησθ' εὑρήμασιν,
Ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

## ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ'.

ΧΟ. Ὑψιμέδοντα μὲν θεῶν
Ζῆνα τύραννον, ἐς χορὸν
Πρῶτα μέγαν κικλήσκω.
Τόν τε μεγασθενῆ τριαί-
νης ταμίαν, γῆς τε καὶ ἁλ-
μυρᾶς θαλάσσης ἄγριον μοχλευτήν·
Καὶ μεγαλώνυμον ἡμέτερον πατέ-
ρ' Αἰθέρα, σεμνότατον βιοθρέμμονα πάντων.
Τὸν θ' ἱππονώμαν, ὃς ὑπερ-
λάμπροις ἀκτῖσιν κατέχει
Γῆς πέδον, μέγας ἐν θεοῖς,
Ἐν θνητοῖσί τε δαίμων.

ΕΠΙΡ-

z) Metri legem conseruaturus *Bentleius* illud ἣν ad superiorem versum reiicit, ita vt legatur οὕνεχ' ἥν.

a) αὖθι *Bentlej.*

## ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ κ΄.

### Τροχαϊκοὶ Τετράμετροι Καταληκτικοί.

ΧΟ. Ὦ σοφώτατοι θεαταὶ, δεῦρο τὸν νοῦν προσέχετε
Ἠδικημέναι γὰρ ὔμμιν μεμφόμεσθ᾽ ἐναντίον.
Πλεῖστα γὰρ θεῶν ἁπάντων ὠφελούσαις τὴν πόλιν,
Δαιμόνων ἡμῖν μόναις οὐ θύετ᾽, οὐδὲ σπένδετε,
Αἵ τινες τηροῦμεν ὑμᾶς. ἢν γὰρ ᾖ τις ἔξοδος
Μηδενὶ ξὺν νῷ, τότ᾽ ἢ βροντῶμεν, ἢ ψεκάζομεν.
Εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
Ἡνίχ᾽ ᾑρεῖσθε στρατηγὸν, τὰς ὀφρῦς συνήγομεν,
Κἀποιοῦμεν δεινά. Βροντὴ δ᾽ ἐῤῥάγη δι᾽ ἀστραπῆς.
Ἡ Σελήνη δ᾽ ἐξέλιπέ γε τὰς ὁδούς· ὁ δ᾽ Ἥλιος
Τὴν θρυαλλίδ᾽ εἰς ἑαυτὸν εὐθέως συνελκύσας,
Οὐ φανεῖν ἔφασκεν ὑμῖν, εἰ στρατηγήσει Κλέων.
Ἀλλ᾽ ὅμως εἵλεσθε τοῦτον. φασὶ γὰρ δυσβουλίαν
Τῇδε τῇ πόλει προσεῖναι· ταῦτα μέν τοι τοὺς θεοὺς,
Ἅττ᾽ ἂν ὑμεῖς ἐξαμάρτητ᾽, ἐπὶ τὸ βέλτιον τρέπειν.
Ὡς δὲ καὶ τοῦτο ξυνοίσει, ῥᾳδίως διδάξομεν·
Ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς,
Εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα
Αὖθις ἐς τ᾽ ἀρχαῖον, ὑμῖν εἴ τι κἀξημάρτηται, b)
Ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.

AN-

b) *Küsterus* ita rescribit e Msc. *Vatic.*
Αὖθις ἐς τ᾽ ἀρχαῖον ὑμῖν εἴ τι κἀξημάρτητε.
*Bentlejus* autem:
Αὖθις ὡς τ᾽ ἀρχαῖον ὑμῖν εἴ τι κἀξημάρτητο.

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ'.

ΧΟ. Ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ
Δήλιε, Κυνθίαν ἔχων
Ὑψικέρατα πέτραν.
Ἥ τ' Ἐφέσου μάκαιρα πάγ-
χρυσον ἔχεις οἶκον, ἐν ᾧ
Κόραι σε Λυδῶν μεγάλως σέβουσιν.
Ἥτ' ἐπιχώριος ἡμετέρα θεὸς,
Αἰγίδος ἡνίοχος, πολιοῦχος Ἀθάνα.
Παρνασίαν θ' ὃς κατέχων
Πέτραν, σὺν πεύκαις σελαγεῖ, c)
Βάκχαις Δελφίσιν ἐμπρέπων,
Κωμαστὴς Διόνυσος.

ΑΝΤΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ κ'.

Τροχαϊκοὶ Τετράμετροι Καταληκτικοί.

ΧΟ. Ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα,
Ἡ Σελήνη συντυχοῦσ' ἡμῖν, ἐπέστειλε φράσαι,
Πρῶτα μὲν χαίρειν Ἀθηναίοισι, καὶ τοῖς ξυμμάχοις·
Εἶτα θυμαίνειν ἔφασκε. δεινὰ γὰρ πεπονθέναι,
Ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς.
Πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον, ἢ δραχμήν.
Ὥς τε καὶ λέγειν ἅπαντας, ἐξιόντας ἑσπέρας·
Μὴ πρίω, παῖ, δᾷδ', ἐπειδὴ φῶς Σεληναίης καλόν.
Ἄλλα τ' εὖ δρᾶν φησὶν ὑμᾶς, κοὐκ ἄγειν τὰς ἡμέ-
ρας d)

Οὐ-

c) forte legendum σελαγεῖς *Duker*.
d) ἄλλα τ' εὖ δρᾶν φησὶν ὑμᾶς δ' ἐκ ἄγειν.

Οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν.
Ὥς τ' ἀπειλεῖν φησὶν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
Ἡνίκ' ἂν ψευθῶσι δείπνου, κἀπίωσιν οἴκαδε,
Τῆς ἑορτῆς μὴ τυχόντες, κατὰ λόγον τῶν ἡμερῶν.
Κᾆθ', ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε.
Πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
Ἡνίκ' ἂν πενθῶμεν, ἢ τὸν Μέμνον', ἢ Σαρπηδόνα,
Σπένδεθ' ὑμεῖς, καὶ γελᾶτ'· ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
Τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
Τὸν στέφανον ἀφῃρέθη· μᾶλλον γὰρ οὕτως εἴσεται,
Κατὰ Σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.

## ΔΡΑΜΑΤΟΣ β'. ΣΚΗΝΗ α'.

Τρίμετροι Ιαμβικοί.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

ΣΩ. Μὰ τὴν Ἀναπνοὴν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα,
Οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα,
Οὐδ' ἄπορον, οὐδὲ σκαιὸν, οὐδ' ἐπιλήσμονα,
Ὅς τις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
Ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν. ὅμως γε μὴν
Αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς.
Ποῦ Στρεψιάδης; ἔξει τὸν ἀσκάντην λαβών.
ΣΤ. Ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
ΣΩ. Ἀνύσας τι, κατάθου, καὶ πρόσεχε τὸν νοῦν.
ΣΤ. Ἰδού.
ΣΩ. Ἄγε δὴ τί βούλει πρῶτα νυνὶ μανθάνειν,

Ὧν οὐκ ἐδιδάχθης πώποτ᾽ οὐδέν; εἰπέ μοι.
Πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν; e)
ΣΤ. Περὶ τῶν μέτρων ἔγωγ᾽. ἔναγχος γάρ ποτε
Ὑπ᾽ ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ
ΣΩ. Οὐ τοῦτ᾽ ἐρωτῶ σ᾽. ἀλλ᾽ ὅ, τι κάλλιςον μέτρον
Ἡγεῖ; πότερον τὸ τρίμετρον, ἢ τὸ τετράμετρον;
ΣΤ. Ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιεκτέου.
ΣΩ. Οὐδὲν λέγεις, ὤνθρωπε. ΣΤ. περίδου νῦν ἐμοὶ,
Εἰ μὴ τετράμετρόν ἐςιν ἡμιεκτέον.
ΣΩ. Ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθής·
Ταχὺ γ᾽ ἂν δύναιο μανθάνειν σὺ περὶ ῥυθμῶν.
ΣΤ. Τί δέ μ᾽ ὠφελήσουσ᾽ οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;
ΣΩ. Πρῶτον μὲν εἶναι κομψὸν ἐν συνουσίᾳ·
Εἶτ᾽ ἐπαΐειν ὁποῖός ἐςι τῶν ῥυθμῶν,
Κατ᾽ ἐνόπλιον, χ᾽ ὁποῖος αὖ κατὰ δάκτυλον.
ΣΤ. Κατὰ δάκτυλον; νὴ τὸν Δί᾽ ἀλλ᾽ οἶδ᾽. ΣΩ. εἰπὲ δή.
ΣΤ. Τίς ἄλλος ἀντὶ τουτουῒ τοῦ f) δακτύλου;
Πρὸ τοῦ μέν, ἔτ᾽ ἐμοῦ παιδὸς ὄντος, ουτοσί.
ΣΩ. Ἀχρεῖος g) εἶ, καὶ σκαιός. ΣΤ. ου γὰρ, ὦ ᾽ιζυρέ,
Τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν. ΣΩ. Τί δέ;
ΣΤ. Ἐκεῖν᾽, ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.
ΣΩ. Ἀλλ᾽ ἕτερα δεῖ σε πρότερα τούτου μανθάνειν,
Τῶν τετραπόδων ἅττ᾽ ἐςὶν ὀρθῶς ἄῤῥενα.
ΣΤ. Ἀλλ᾽ οἶδ᾽ ἔγωγε τ᾽ ἄῤῥεν᾽, εἰ μὴ μαίνομαι·

Κριὸς

e) ἢ περὶ ῥυθμῶν, ἢ ἐπῶν. Msc. *Vat.*
f) νῦν δακτύλου *Bentlej.*
g) *Suidas* ἀγρεῖος rectius, *Küstero* iudice.

Κριὸς, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.
ΣΩ. Ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς
Ἀλεκτρυόνα, κατὰ ταυτὸ καὶ τὸν ἄῤῥενα.
ΣΤ. Πῶς δὴ φέρε; ΣΩ. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.
ΣΤ. Νὴ τὸν Ποσειδῶ· νῦν δὲ πῶς με χρὴ καλεῖν;
ΣΩ. Ἀλεκτρύαιναν· τὸν δ' ἕτερον, ἀλέκτορα.
ΣΤ. Ἀλεκτρύαιναν; εὖγε νὴ τὸν Ἀέρα.
Ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου,
Διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
ΣΩ. Ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον. τὴν κάρδοπον,
Ἄῤῥενα καλεῖς, θήλειαν οὖσαν. ΣΤ. Τῷ τρόπῳ
Ἄῤῥενα καλῶ 'γὼ κάρδοπον; ΣΩ. μάλιστά γε·
Ὥσπερ γε καὶ Κλεώνυμον. ΣΤ. Πῶς δὴ, φράσον.
ΣΩ. Ταυτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.
ΣΤ. Ἀλλ' ὦ 'γάθ', οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ,
Ἀλλ' ἐν θυείᾳ στρογγύλῃ γ' ἀνεμάττετο.
Ἀτὰρ τολοιπὸν πῶς με χρὴ καλεῖν; ΣΩ. ὅπως;
Τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.
ΣΤ. Τὴν καρδόπην θήλειαν ὀρθότερον λέγεις;
Ἐκεῖνο δ' ἦν ἂν, καρδόπη, Κλεωνύμη.
ΣΩ. Ἔτι δήγε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ,
Ἅττ' ἄῤῥεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.
ΣΤ. Ἀλλ' οἶδ' ἔγωγ' ἃ θήλε' ἐστίν. ΣΩ. εἰπὲ δή.
ΣΤ. Λύσιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία·
ΣΩ. Ἄῤῥενα δὲ ποῖα τῶν ὀνομάτων; ΣΤ. Μυρία.
Φιλόξενος, Μελησίας, Ἀμυνίας.

ΣΩ. Ἀλλ᾽ ὦ πόνηρε, ταῦτά γ᾽ ἔς᾽ οὐκ ἄῤῥενα.
ΣΤ. Οὐκ ἄῤῥεν᾽ ὑμῖν ἐςιν; ΣΩ. οὐδαμῶς γ᾽, ἐπεὶ
Πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;
ΣΤ. Ὅπως ἄν; ὡδὶ, δεῦρο, δεῦρ᾽ Ἀμυνία.
ΣΩ. Ὁρᾷς; γυναῖκα δὴ τὸν Ἀμυνίαν καλεῖς.
ΣΤ. Οὐκοῦν δικαίως, ὅςις οὐ ςρατεύεται.
Ἀτὰρ τί ταῦθ᾽, ἃ πάντες ἴσμεν, μανθάνω;
ΣΩ. Οὐδὲν μὰ Δί᾽, ἀλλὰ κατακλινεὶς δευρί. ΣΤ. Τί δρῶ;
ΣΩ. Ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
ΣΤ. Μὴ δῆθ᾽, ἱκετεύω σ᾽, ἐνθάδ᾽· ἀλλ᾽, εἴπερ γε χρὴ,
Χαμαί μ᾽ ἔασον αὐτὰ ταῦτ᾽ ἐκφροντίσαι.
ΣΩ. Οὐκ ἔςι παρὰ ταῦτ᾽ ἄλλα. ΣΤ. κακοδαίμων ἐγὼ,
Οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερα!
ΣΩ. Φρόντιζε δὴ, καὶ διάθρει.
Πάντα τρόπον τε σαυτὸν
Στρόβει πυκνώσας.
Ταχὺς δ᾽, ὅταν εἰς ἄπορον πέσῃς, h)
Ἐς ἄλλο πήδα νόημα φρενός. i)
Ὕπνος δ᾽ ἀπέσω γλυκύθυμος ὀμμάτων.
ΣΤ. Ἰατταταῖ, Ἰατταταῖ.
ΣΩ. Τί πάσχεις; τί κάμνεις;
ΣΤ. Ἀπόλλυμαι δείλαιος ἐκ τοῦ σκίμποδος, k)
Δάκνουσί μ᾽ ἐξέρποντες οἱ Κορίνθιοι,

Καὶ

h) ἐμπέσῃς, Ἐπ᾽ ἄλλο *Suid.*
i) al. νόημα φρενί.
k) *Küsterus* ita distinguit:
Ἀπόλλυμαι δείλαιος. ἐκ τȣ̃ σκίμποδος
Δακνȣσί μ᾽ ἐξέρποντες.

Καὶ τὰς πλευρὰς δαρδάπτουσι,
Καὶ τὴν ψυχὴν ἐκπίνουσι,
Καὶ τοὺς ὄρχεις ἐξέλκουσι,
Καὶ τὸν πρωκτὸν διορύττουσι·
Καὶ μ᾽ ἀπολοῦσιν. ΣΩ. μὴ νῦν βαρέως ἄλγει λίαν.
ΣΤ. Καὶ πῶς; ὅτε μου
Φροῦδα τὰ χρήματα, φρούδη χροιά,
Φρούδη δ᾽ ἡ [1] ψυχή, φρούδη δ᾽ ἐμβάς·
Καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς,
Φρουρᾶς ᾄδων,
Ὀλίγου φροῦδος γεγένημαι.
ΣΩ. Οὗτος τί ποιεῖς; οὐχὶ φροντίζεις; ΣΤ. ἐγώ;
Νὴ τὸν Ποσειδῶ- ΣΩ. Καὶ τί δῆτ᾽ ἐφρόντισας;
ΣΤ. Ὑπὸ τῶν κόρεων εἴ μου τὶ περιλειφθήσεται.
ΣΩ. Ἀπολεῖ κάκιστ᾽. ΣΤ. ἀλλ᾽ ὦ ᾽γάθ᾽, ἀπόλωλ᾽ ἀρτίως.
ΣΩ. Οὐ μαλθακιστέ᾽, ἀλλὰ περικαλυπτέα.
Εὑρητέος γὰρ νοῦς ἀποστερητικός,
Κἀπαιόλημ᾽. ΣΤ. οἴμοι, τίς ἂν δῆτ᾽ ἐπιβάλοι
Ἐξ ἀρνακίδων γνώμην ἀποστερητίδα;
ΣΩ. Φέρε νῦν, ἀθρήσω πρῶτον ὅ, τι δρᾷ τουτονί.
Οὗτος καθεύδεις; ΣΩ. μὰ τὸν Ἀπόλλω, ᾽γὼ μὲν οὔ.
ΣΩ. Ἔχεις τί; ΣΤ. μὰ Δί᾽. οὐδὲν ἔγωγ᾽. ΣΩ. οὐδὲν πάνυ;
ΣΤ. Οὐδέν γε, πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.
ΣΩ. Οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
ΣΤ. Περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον, ὦ Σώκρατες.

ΣΩ.

1) *Aldus* & *Bentlej.* itemque *Ducker.* eiiciunt δ᾽ ἡ, vt conficiatur versus Anapaesticus dimeter.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0051-5

ΣΩ. Αὐτὸς ὅ, τι βούλει πρῶτος ἐξευρεῖν, λέγε.
ΣΤ. Ἀκήκοας μυριάκις ἅ 'γω βούλομαι.
Περὶ τῶν τόκων, ὅπος ἂν ἀποδῶ μηδενί.
ΣΩ. Ἴθι νῦν, καλύπτου, καὶ σχάσας τὴν φροντίδα
Λεπτὴν, κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
Ὀρθῶς διαιρῶν καὶ σκοπῶν. ΣΤ. οἴμοι τάλας!
ΣΩ. Ἔχ' ἀτρέμα· κἂν ἀπορῇς τι τῶν νοημάτων,
Ἀφεὶς ἄπελθε, κᾆτα τὴν γνώμην πάλιν
Κίνησον αὖθις αὐτὸ, m) καὶ ζυγώθρισον.
ΣΤ. Ὦ Σωκρατίδιον φίλτατον! ΣΨ. τί, ὦ γέρον;
ΣΤ. Ἔχω τόκου γνώμην ἀποστερητικήν.
ΣΩ. Ἐπίδειξον αὐτήν. ΣΤ. εἰπὲ δὴ νῦν μοι. ΣΩ. τό, τί;
ΣΤ. Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν.
Καθέλοιμι νύκτωρ τὴν σελήνην· εἶτα δὴ
Αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
Ὥσπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων;
ΣΩ. Τί δῆτα τοῦτ' ἂν ὠφελήσειέ σ'; ΣΤ. ὅ, τι;
Εἰ μηκέτ' ἀντέλλοι σελήνη μηδαμοῦ,
Οὐκ ἂν γ' ἀποδοίην τοὺς τόκους. ΣΩ. τίη τί δή;
ΣΤ. Ὅτιὴ κατὰ μῆνά γ' ἀργυρίων n) δανείζεται.
ΣΩ. Εὖ γ'. ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν.
Εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη
Ὅπως ἂν αὐτὴν ἀφανίσειας, εἰπέ μοι.
ΣΤ. Ὅπως; ὅπως, οὐκ οἶδ'. ἀτὰρ ζητητέον.

ΣΩ.

m) αὖθις αὖ σὺ *Küster*.
n) *Küsterus* vel τ' ἀργύρια legendum putat, vel e Msc. *Vatic.* τ' ἀργύριον.

ΣΩ. Μὴ νῦν περὶ σαυτὸν εἶλε τὴν γνώμην ἀεὶ,
Ἀλλ᾽ ἀποχάλα τὴν φροντίδ᾽ ἐς τὸν ἀέρα.
Λινόδετον ὥσπερ μηλολόνθην τοῦ ποδός.
ΣΤ. Εὕρηκ᾽ ἀφάνισιν τῆς δίκης σοφωτάτην,
Ὥς᾽ αὐτὸν ὁμολογεῖν σ᾽ ἐμοί. ΣΩ. ποίαν τίνα;
ΣΤ. Ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
Ταύτην ἑώρας, τὴν καλὴν, τὴν διαφανῆ,
Ἀφ᾽ ἧς τὸ πῦρ ἅπτουσι; ΣΩ. τὴν ὕαλον λέγεις;
ΣΤ. Ἔγωγε. ΣΩ. φέρε, τί δῆτ᾽ ἂν; ΣΤ. εἰ ταύτην λαβὼν
Ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεὺς,
Ἀπωτέρω ςὰς ὧδε πρὸς τὸν ἥλιον,
Τὰ γράμματ᾽ ἐκτήξαιμι τῆς ἐμῆς δίκης.
ΣΩ. Σοφῶς γε, νὴ τὰς Χάριτας! ΣΤ. οἴμ᾽, ὡς ἥδομαι,
Ὅτε πεντετάλαντος διαγέγραπταί μοι δίκη.
ΣΩ. Ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον. ΣΤ. τὸ τί;
ΣΩ. Ὅπως ἀποςρέψαις ἂν ἀντιδικῶν δίκην,
Μέλλων ὀφλήσειν, o) μὴ παρόντων μαρτύρων.
ΣΤ. Φαυλότατα καὶ ῥᾷς᾽. ΣΩ. εἰπὲ δή. ΤΣ. καὶ δὴ λέγω,
Εἰ πρόσθεν ἔτι μιᾶς ἐνεςώσης δίκης,
Πρὶν τὴν ἐμὴν καλεῖσθ᾽, ἀπαγξαίμην τρέχων.
ΣΩ. Οὐδὲν λέγεις. ΣΤ. Νὴ τοὺς θεούς ἔγωγ᾽, ἐπεὶ
Οὐδεὶς κατ᾽ ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
ΣΩ. Ὑθλεῖς· ἄπερρ᾽, οὐκ ἂν διδαξαίμην σ᾽ ἔτι.
ΣΤ. Ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν, ὦ Σώκρατες;
ΣΩ. Ἀλλ᾽ εὐθὺς ἐπιλήθει σύ γ᾽, ἅττ᾽ ἂν καὶ μάθῃς.

Ἐπεί,

o) *Dukerus* coniungenda putat δίκην μέλλων ὀφλήσειν.

Ἐπεὶ, τί δή γε πρῶτον ἐδιδάσκου, λέγε;
ΣΤ. Φέρ' ἴδω· τί μέν τοι πρῶτον ἦν. τί πρῶτον ἦν;
Τίς ἦν ἐν ᾗ ματτόμεθα μέν τοι τἄλφιτα;
Οἴμοι· τίς ἦν; ΣΩ. οὐκ ἐς κόρακας ἀποφθερεῖ,
Ἐπιλησμότατον p) καὶ σκαιότατον γερόντιον;
ΣΤ. Οἴμοι· τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
Ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.
Ἀλλ' ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.
ΧΟ. Ἡμεῖς μὲν, ὦ πρεσβῦτα, συμβουλεύομεν,
Εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος,
Πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
ΣΤ. Ἀλλ' ἔστ' ἐμοί γ' υἱὸς καλός τε κἀγαθός
Ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω;
ΧΟ. Σὺ δ' ἐπιτρέπεις; ΣΤ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ,
Κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
Ἀτὰρ μέτειμί γ' αὐτόν. ἢν δὲ μὴ θέλῃ,
Οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
Ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ί.

ΧΟΡΟΣ.

Ἆρά γ' αἰσθάνει πλεῖστα
Δι' ἡμᾶς ἀγάθ' αὐτίχ'
Ἕξων μόνας θεῶν.
Ὡς ἕτοιμος ὅδ' ἐστὶν
Πάντα δρᾷν ὅσ' ἂν κελεύῃς·

Σὺ

p) ἐπιλησμ νότατον Mſc. *Arundel.*

Σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου,
Καὶ φανερῶς ἐπηρμένου
Γνοὺς ἀπολέψεις, q) ὅ, τι πλεῖστον δύνασαι,
Ταχέως. φιλεῖ γάρ πως τὰ τοι-
αῦθ' ἑτέρως τρέπεσθαι.

## ΔΡΑΜΑΤΟΣ γ'. ΣΚΗΝΗ α'.

Τρίμετροι Ἰαμβικοί.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠ ΔΗΣ, ΣΩΚΡΑΤΗΣ.

ΣΤ. Οὔτοι μὰ τὴν ὁμίχλην ἔτ' ἐνταυθοῖ μενεῖς.
Ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
ΦΕΙ. Ὦ δαιμόνιε· τί χρῆμα πάσχεις, ὦ πάτερ;
Οὐκ εὖ φρονεῖς, μὰ τὸν Δία τὸν Ὀλύμπιον.
ΣΤ. Ἰδού γ', ἰδοὺ, Δί' Ὀλύμπιον, τῆς μωρίας·
Τὸν Δία νομίζειν ὄντα τηλικουτονί.
ΦΕΙ. Τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν; ΣΤ. Ἐνθυμούμενος,
Ὅτι παιδάριον εἶ, καὶ φρονεῖς ἀρχαϊκά.
Ὅμως γε μὴν πρόσελθ', ἵν' εἰδῇς πλείονα,
Καί σοι φράσω πρᾶγμ', ὃ σὺ μαθὼν, ἀνὴρ ἔσει.
Ὅπως δὲ τοῦτο μὴ διδάξῃς μηδένα.
ΦΕΙ. Ἰδοὺ τί ἐστιν; ΣΤ. ὤμοσας νῦν, νὴ Δία;
ΦΕΙ. Ἔγωγ'. ΣΤ. ὁρᾷς οὖν ὡς ἀγαθὸν τὸ μανθάνειν;
Οὐκ ἔστιν, ὦ Φειδιππίδη, Ζεύς. ΦΕΙ. Ἀλλὰ τίς;
ΣΤ. Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.
ΦΕΙ. Αἰβοῖ, τί ληρεῖς; ΣΤ. ἴσθι τοῦθ' οὕτως ἔχον.



q) ἀπολάψεις Msc. *Vat. Arundel.* ἀπολόψεις e coniectura *Bentleji.*

ΦΕΙ. Τίς φησι ταῦτα; ΣΤ. Σωκράτης ὁ Μήλιος,
Καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.
ΦΕΙ. Σὺ δ' εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας,
Ὥς τ' ἀνδράσιν πείθει χολῶσιν; ΣΤ. εὐστόμει,
Καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς
Καὶ νοῦν ἔχοντας, ὧν, ὑπὸ τῆς φειδωλίας,
Ἀπεκείρατ' οὐδεὶς πώποτ', οὐδ' ἠλείψατο,
Οὐδ' εἰς βαλανεῖον ἦλθε λουσόμενος. σὺ δέ,
Ὥσπερ τεθνεῶτος, καταλούει μου τὸν βίον.
Ἀλλ' ὡς τάχιστ' ἐλθών, ὑπὲρ ἐμοῦ μάνθανε.
ΦΕΙ. Τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις ἄν;
ΣΤ. Ἄληθες; ὅσαπερ ἐστ' ἐν ἀνθρώποις σοφά·
Γνώσει δὲ σαυτὸν, ὡς ἀμαθὴς εἶ, καὶ παχύς.
Ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον ἐνταυθοῖ χρόνον.
ΦΕΙ. Οἴμοι· τί δράσω παραφρονοῦντος τοῦ πατρός;
Πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;
Ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;
ΣΤ. Φέρ' ἴδω. σὺ τοῦτον τίνα νομίζεις; εἰπέ μοι.
ΦΕΙ. Ἀλεκτρυόνα. ΣΤ. καλῶς γε. ταυτηνὶ δὲ τί;
ΦΕΙ. Ἀλεκτρυόν'. ΣΤ. Ἄμφω ταὐτό; καταγέλαστος εἶ.
Μὴ νῦν τολοιπόν. ἀλλὰ τήνδε μὲν καλεῖν
Ἀλεκτρύαιναν, τουτονὶ δ' ἀλέκτορα.
ΦΕΙ. Ἀλεκτρύαιναν; ταῦτ' ἔμαθες τὰ δεξιὰ
Εἴσω παρελθὼν ἄντι παρὰ τοὺς γηγενεῖς;
ΣΤ. Χ' ἅτερά γε πόλλ'. ἀλλ' ὅ, τι μάθοιμ' ἑκάστοτε,
Ἐπελανθανόμην r) ἂν εὐθὺς, ὑπὸ πλήθους ἐτῶν.

ΦΕΙ.

r) ἐπελαθόμην *Bentlej.*

ΦΕΙ. Διὰ ταῦτα δὴ καὶ θοιμάτιον ἀπώλεσας;
ΣΤ. Ἀλλ᾽ οὐκ ἀπολώλεκ᾽, ἀλλὰ καταπεφρόντικα.
ΦΕΙ. Τὰς δ᾽ ἐμβάδας ποῖ τέτροφας, ὦ 'νόητε σύ;
ΣΤ. Ὥσπερ Περικλέης εἰς τὸ δέον ἀπώλεσα.
Ἀλλ᾽ ἴθι βάδιζ᾽, ἴωμεν· εἶτα τῷ πατρὶ
Πειθόμενος ἐξάμαρτε· κἀγώ τοι ποτὲ
Οἶδ᾽ ἑξέτει σοι τραυλίσαντι πειθόμενος, s)
Ὃν πρῶτον ὀβολὸν ἔλαβον Ἡλιαστικὸν,
Τούτου 'πριάμην σοι Διασίοις ἁμαξίδα. t)
ΦΕΙ. Ἦ μὴν σὺ τούτοις τῷ χρόνῳ ποτ᾽ ἀχθέσει.
ΣΤ. Εὖγ᾽ ὅτι ἐπείσθης. δεῦρο δεῦρ᾽, ὦ Σώκρατες,
Ἔξελθ᾽, ἄγω γάρ σοι τὸν υἱὸν τουτονὶ,
Ἄκοντ᾽ ἀναπείσας. ΣΩ. νηπύτιος γάρ ἐς᾽ ἔτι,
Καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.
ΦΕΙ. Αὐτὸς σὺ τρίβων εἴης ἂν, εἰ κρέμαιό γε.
ΣΤ. Οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ;
ΣΩ. Ἰδοὺ, κρέμαιό γ᾽, ὡς ἠλίθιον ἐφθέγξατο,
Καὶ τοῖσι χείλεσιν διεῤῥυηκόσιν!
Πῶς ἂν μάθοι πόθ᾽ οὗτος ἀπόφευξιν δίκης,
Ἢ κλῆσιν, ἢ χαύνωσιν ἀναπειςηρίαν;
Καί τοι ταλάντου τοῦτ᾽ ἔμαθεν Ὑπέρβολος.
ΣΤ. Ἀμέλει, δίδασκε. θυμόσοφός ἐςι φύσει.
Εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονὶ, u)
Ἔπλαττεν ἔνδον οἰκίας, ναῦς τ᾽ ἔγλυφεν,



s) *Bentlej.* in hoc & praecedente verſu reponit πιθόμενος.
t) ἀτ᾽ ἐπριάμην *Suid.* v. Ἅμαξις; probat *Bentl.*
u) τυννετοῖ Mſc. *Vatic.*

Ἀμαξίδας δὲ σκυτίνας εἰργάζετο,
Κἀκ τῶν σιδίων βατράχους ἐποίει. πῶς δοκεῖς;
Ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται,
Τὸν κρείττον' ὅστις ἐστὶ καὶ τὸν ἥττονα. x)
Ἐὰν δὲ μὴ, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
ΣΩ. Αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν.
ΣΤ. Ἐγὼ δ' ἀπέσομαι· τοῦτο δ' οὖν μέμνησ', ὅπως
Πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

## ΔΡΑΜΑΤΟΣ γ'. ΣΚΗΝΗ β'.

Ἀναπαιστικοὶ Δίμετροι.

ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

ΔΙ. Χώρει δευρὶ, δεῖξον σαυτὸν
Τοῖσι θεαταῖς, καίπερ θρασὺς ὤν.
ΑΔ. Ἴθ' ὅποι χρήζεις. πολὺ γὰρ μᾶλλον
Σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
ΔΙ. Ἀπολεῖς σύ; τίς ὤν; ΑΔ. λόγος. ΔΙ. Ἥττων γ' ὤν.
ΑΔ. Ἀλλά σε νικῶ, τὸν ἐμοῦ κρείττω
Φάσκοντ' εἶναι. ΔΙ. Τί σοφὸν ποιῶν;
ΑΔ. Γνώμας καινὰς μὲν ἐφευρίσκων. y)
ΔΙ. Ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
Τοὺς ἀνοήτους. ΑΔ. οὐκ, ἀλλὰ σοφούς.
ΔΙ. Ἀπολῶ σε κακῶς. ΑΔ. Εἰπὲ τί ποιῶν;
ΔΙ. Τὰ δίκαια λέγων. ΑΔ. ἀλλ' ἀνατρέψω

Ταῦτ'

x) Post hunc versum Msc. *Vat.* & *Arundel.* hunc στίχον addunt: Ὅς τ' ἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα.
y) *Küsterus* praefert lectionem Msc. *Vatic.* Γνώμας καινὰς ἐξευρίσκων.

Ταῦτ' ἀντιλέγων. οὐδὲ γὰρ εἶναι
Πάνυ φημὶ δίκην. ΔΙ. οὐκ εἶναι φής;
ΑΔ. Φέρε γὰρ ποῦ 'στι; ΔΙ. Παρὰ τοῖσι θεοῖς.
ΑΔ. Πῶς δῆτα δίκης οὔσης, ὁ Ζεὺς
Οὐκ ἀπόλωλεν, τὸν πατέρ' αὐτοῦ
Δήσας; ΔΙ. Αἰβοῖ· τουτὶ καὶ δὴ
Χωρεῖ τὸ κακόν. δότε μοι λεκάνην. z)
ΑΔ. Τυφογέρων εἶ, κἀνάρμοστος.
ΔΙ. Καταπύγων εἶ, κἀναίσχυντος.
ΑΔ. Ῥόδα μ' εἴρηκας. ΔΙ. Καὶ βωμολόχος.
ΑΔ. Κρίνεσι στεφανοῖς. ΔΙ. Καὶ πατραλοίας.
ΑΔ. Χρυσῷ πάττων μ', οὐ γινώσκεις.
ΔΙ. Οὐ δῆτα προτοῦ γ'· ἀλλὰ μολίβδῳ.
ΑΔ. Νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.
ΔΙ. Θρασὺς εἶ πολλοῦ. ΑΔ. σὺ δέ γ' ἀρχαῖος.
ΔΙ. Διὰ σὲ δὲ φοιτᾷν
Οὐδεὶς ἐθέλει τῶν μειρακίων.
Γνωσθήσει πότ' Ἀθηναίοισιν a)
Οἷα διδάσκεις τοὺς ἀνοήτους.
ΑΔ. Αὐχμεῖς αἰσχρῶς. ΔΙ. σὺ δέ γ' εὖ πράττεις,
Καί τοι πρότερόν γ' ἐπτώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
Ἐκ πηριδίου
Γνώμας τρώγων Πανδελετείους.

ΑΔ.

z) Etymologus vet. addit ἵν' ἐξεμέσω quod glossam sapit, & metro aduersatur.

a) Ἀθηναίοις Msc. *Vat.*

ΑΔ. Οἴμοι σοφίας, ἧς ἐμνήσθης,
ΔΙ. Οἴμοι μανίας τῆς σῆς, πόλεώς θ',
Ἥτις σε τρέφει,
Λυμαινόμενον τοῖς μειρακίοις.
ΑΔ. Οὐχὶ διδάξεις τοῦτον Κρόνος ὤν;
ΔΙ. Εἴπερ γ' αὐτὸν σωθῆναι χρὴ,
Καὶ μὴ λαλίαν μόνον ἀσκῆσαι.
ΑΔ. Δεῦρ' ἴθι, τοῦτον ἔα μαίνεσθαι.
ΔΙ. Κλαύσει. τὴν χεῖρ' b) ἐπιβάλλεις;
ΧΟ. Παύσασθε μάχης, καὶ λοιδορίας.
Ἀλλ' ἐπίδειξαι σύ τε, τοὺς προτέρους
Ἅττ' ἐδίδασκες. σύ τε τὴν καινὴν
Παίδευσιν· ὅπως ἂν ἀκούσας σφῶϊν
Ἀντιλεγόντοιν, κρίνας φοιτᾷ.
ΔΙ. Δρᾷν ταῦτ' ἐθέλω. ΑΔ. κἄγωγ' ἐθέλω.
ΧΟ. Φέρε τίς λέξει πρότερος ὑμῶν;
ΑΔ. Τούτῳ δώσω.
Κᾆτ' ἐκ τούτων, ὧν ἂν λέξῃ,
Ῥηματίοισι καινοῖς αὐτὸν
Καὶ διανοίαις κατατοξεύσω.
Τὸ τελευταῖον δ', ἢν ἀναγρύξῃ,
Τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ
Κεντούμενος, ὥσπερ ὑπ' ἀνθρηνῶν,
Ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.

ΣΤΡΟ-

b) cod. *Vatic.* addit ἦν.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ'.

ΧΟΡΟΣ.

Νῦν δείξετον τὼ πισύνω,
Τοῖς περιδεξίοισιν
Λόγοισι, καὶ φροντίσι, καὶ
Γνωμοτύποις μερίμναις,
Ὁππότερός γ' αὐτοῖν λέγων
Ἀμείνων φανήσεται.
Νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος
Ἀνεῖται σοφίας·
Ἧς πέρι τοῖς ἐμοῖς φίλοις
Ἐστὶν ἀγὼν μέγιστος.
Ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας,
Ῥῆξον φωνὴν, ᾗ τινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.

ΔΡΑΜΑΤΟΣ γ'. ΣΚΗΝΗ γ'.

Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

ΔΙ. Λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,
Ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο.
Πρῶτον μὲν ἔδει φωνὴν παιδὸς γρύξαντος μηδὲν ἀκοῦσαι,
Εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ

Τοὺς κωμήτας γυμνοὺς, ἀθρόους, κ᾽ εἰ κριμνώδη c) κατανίφοι.
Εἶτ᾽ αὖ προμαθεῖν ᾆσμ᾽ ἐδίδασκεν τὼ μηρὼ μὴ ξυνέχοντας.
Ἢ Παλλάδα περσέπτολιν δεινὰν, ἢ τηλέπορόν τι βόαμα,
Ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν.
Εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ᾽, ἢ κάμψειέν τινα καμπὴν,
Οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους.
Ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς μούσας ἀφανίζων.
Ἐν παιδοτρίβου δέ καθίζοντας, d) τὸν μηρὸν ἔδει προβαλέσθαι
Τοὺς παῖδας, ὅπως τοῖς ἔξωθεν μηδέν δείξειαν ἀπηνές.
Εἶτ᾽ αὖ πάλιν αὖθις ἀνιςαμένους συμψῆσαι, καὶ προνοῆσαι
Εἴδωλον τοῖσιν ἐραςαῖς τῆς ἥβης μὴ καταλείπειν γε. e)
Ἠλει-

c) κρημνώδη cod. *Arundel.* & *Suid.*
d) *Suidas* legit βαδίζοντας.
e) *Toupius* ita fubleuat metrum:
Ειδωλον τοῖσιν ἐραςαῖσιν τῆς ἥβης μὴ καταλειπεῖν.
*Küfterus* autem pro μὴ καταλειπεῖν legit μηδὲν καταλειπεῖν. *Bentlej.* denique fic:
Ὥς᾽ εἴδωλον τοῖσιν ἐραςαῖς τῆς ἥβης μὴ καταλιπεῖν.

Ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθεν τότ' ἂν, ὥϛε
Τοῖς αἰδοίοισι δρόσος, καὶ χνοῦς, ὥσπερ μήλοισιν, ἐπήνθει.
Οὐδ' ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν, πρὸς τὸν ἐραϛὴν,
Αὐτὸς ἑαυτὸν προαγωγεύων τοῖς ὀφθαλμοῖς ἐβάδιζεν.
Οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος,
Οὐδ' ἂν ἄνηθον τῶν πρεσβυτέρων ἁρπάζειν, οὐδὲ σέλινον,
Οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ.
ΑΔ. Ἀρχαῖά γε, καὶ Διϊπολιώδη, καὶ τεττίγων ἀνάμεσα,
Καὶ Κηκείδου καὶ Βουφονίων. ΔΙ. ἀλλ' οὖν ταῦτ' ἐϛὶν ἐκεῖνα,
Ἐξ ὧν ἄνδρας Μαραθωνομάχους ἡ 'μὴ παίδευσις ἔθρεψεν.
Σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι·
Ὥϛε μ' ἀπάγχεσθ', ὅταν ὀρχεῖσθαι Παναθηναίοις δέον αὐτοὺς,
Τὴν ἀσπίδα τῆς κωλῆς προέχων, f) ἀμελῇ τῆς Τριτογενείας



f) προέχωσ' reponit *Bentl.*

Πρὸς ταῦτ᾽, ὦ μειράκιον, θαῤῥῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ·
Κἀπιστήσει μισεῖν ἀγορὰν, καὶ βαλανείων ἀπέχεσθαι,
Καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι· κἂν σκώπτῃ τίς σε, φλέγεσθαι.
Καὶ τῶν θακῶν g) τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσι.
Καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας κακοεργεῖν, ἄλλο τέ μηδὲν
Αἰσχρὸν ποιεῖν· ὅτι τῆς αἰδοῦς μέλλεις τἄγαλμ᾽ ἀναπλήσειν. h)
Μήδ᾽ εἰς ὀρχηστρίδος εἰσιέναι, ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς,
Μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς.
Μήδ᾽ ἀντειπεῖν τῷ πατρὶ μηδέν. μήδ᾽ Ἰαπετὸν καλέσαντα
Μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης.
ΑΔ. Εἰ ταῦθ᾽, ὦ μειράκιον, πείσει τούτῳ, νὴ τὸν Διόνυσον,

Τοῖς

g) *Küsterus* mauult θάκων, vel potius θώκων vt habet Msc. *Vatic.*

h) ἀφανίζειν ait *Scholiastes* in quibusdam cod. olim scriptum fuisse; quod *Küsterus* amplectitur & metri caussa pro τἄγαλμα legit τὤγαλμα.

Τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦσι βλιτομάμμαν.
ΔΙ. Ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις.
Οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷάπερ οἱ νῦν.
Οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου.
Ἀλλ' εἰς Ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις,
Στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου,
Μίλακος i) ὄζων, καὶ ἀπραγμοσύνης, καὶ λεύκης φυλλοβολούσης,
Ἦρος ἐν ὥρᾳ χαίρων, ὁπότ' ἂν πλάτανος πτελέᾳ ψιθυρίζῃ.
Ἢν ταῦτα ποιῇς ἁ 'γὼ φράζω,
Καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
Ἕξεις αἰεὶ στῆθος λιπαρὸν,
Χροιὰν λαμπρὰν, ὤμους μεγάλους,
Γλῶτταν βαιὰν, πυγὴν μεγάλην,
Πόσθην μικράν. ἢν δ' ἅπερ οἱ νῦν
Ἐπιτηδεύῃς, πρῶτα μὲν ἕξεις
Χροιὰν ὠχρὰν, ὤμους μικροὺς,
Στῆθος λεπτὸν, γλῶτταν μεγάλην,



i) σμίλακος Msc. *Arundel.*

Πυγὴν μικρὰν, κωλῆν μεγάλην,
Ψήφισμα μακρόν. καὶ σ' ἀναπείσει,
Τὸ μὲν αἰσχρὸν ἅπαν, καλὸν ἡγεῖσθαι,
Τὸ καλὸν δ' αἰσχρόν. καὶ πρὸς τούτοις
Τῆς Ἀντιμάχου
Καταπυγοσύνης ἀναπλήσει.

## ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ'.

### ΧΟΡΟΣ.

Ὦ καλλίπυργον σοφίαν
Κλεινοτάτην τ' ἐπασκῶν,
Ὡς ἡδύ σου τοῖσι λόγοις
Σῶφρον ἔπεστιν ἄνθος!
Εὐδαίμονες δ' ἄρ' ἦσαν οἱ
Τότε ζῶντες· ἡνίκ' ἦς
Τῶν προτέρων· πρὸς οὖν τάδ' ὦ κομψο-
πρεπῆ μοῦσαν ἔχων,
Δεῖ σε λέγειν τι καινὸν, ὡς
Εὐδοκίμηκεν ἀνήρ.

## Ἰαμβικοὶ Τετράμετροι Καταληκτικοί.

### ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ.

ΔΙ. Δεινῶν δέ σοι βουλευμάτων, ἔοικε δεῖν πρὸς αὐτὸν,
Εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ, καὶ μὴ γέλωτ' ὀφλήσῃς.

ΑΔ. Καὶ μὴν πάλ᾽ ἔγωγ᾽ ἐπνιγόμην k) τὰ σπλάγχνα, κἀπεθύμουν
Ἅπαντα ταῦτ᾽ ἐναντίαις γνώμαισι συνταράξαι.
Ἐγὼ γὰρ ἥττων μὲν λόγος δι᾽ αὐτὸ τοῦτ᾽ ἐκλήθην
Ἐν τοῖσι φροντισαῖσιν, ὅτι πρώτισος ἐπενόησα
Καὶ τοῖσι νόμοις καὶ ταῖς δίκαις τἀναντί᾽ ἀντιλέξαι·
Καὶ τοῦτο πλεῖν ἢ μυρίων ἐς᾽ ἄξιον σατήρων,
Αἱρούμενον τοὺς ἥττονας λόγους, ἔπειτα νικᾷν.
Σκέψαι δὲ τὴν παίδευσιν, ᾗ πέποιθεν, ὡς ἐλέγξω.
Ὅστις σε θερμῷ φησὶ λοῦσθαι πρῶτον οὐκ ἐάσειν.
Καί τοι τίνα γνώμην ἔχων, ψέγεις τὰ θερμὰ λουτρά;
ΔΙ. Ὅτιὴ κάκισόν ἐςι, καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.
ΑΔ. Ἐπίσχες· εὐθὺς γάρ σε μέσον ἔχω λαβὼν ἄφυκτον,
Καί μοι φράσον, τῶν τοῦ Διὸς παίδων τίν᾽ ἄνδρ᾽ ἄριςον
Ψυχὴν νομίζεις, εἰπέ, καὶ πλείςους πόνους πονῆσαι;
ΔΙ. Ἐγὼ μὲν οὐδέν᾽ Ἡρακλέους βελτίον᾽ ἄνδρα κρίνω.
ΑΔ. Ποῦ ψυχρὰ δῆτά πώποτ᾽ εἶδες Ἡράκλεια λουτρά;
Καί τοι τίς ἀνδρειότερος ἦν; ΔΙ. Ταῦτ᾽ ἐςὶ ταῦτ᾽ ἐκεῖνα,
Ἃ τῶν νεανίσκων ἀεὶ δι᾽ ἡμέρας λαλούντων,
Πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίςρας.
ΑΔ. Εἶτ᾽ ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις· ἐγὼ δ᾽ ἐπαινῶ.
Εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ᾽ ἂν ἐποίει

Τὸν

k) Reponit *Bentlej.* καὶ μὴν πάλαι γ᾽ ἐπνιγόμην vel quod mauult καὶ μὴν παλαι ᾽γω ᾽πνιγόμην.

Τὸν Νέστορ' ἀγορητὴν ἂν, οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
Ἄνειμι δῆτ' ἐντεῦθεν εἰς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
Οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν· ἐγὼ δέ φημι.
Καὶ σωφρονεῖν αὖ φησι χρῆναι· δύο κακὼ μεγίστω.
Ἐπεὶ σὺ, διὰ τὸ σωφρονεῖν, τῷ πώποτ' εἶδες ἤδη
Ἀγαθόν τι γενόμενον, φράσον, καί μ' ἐξέλεγξον εἰπών.
ΔΙ. Πολλοῖς· ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν.
ΑΔ. Μάχαιραν; ἀστεῖον γε κέρδος ἔλαβεν ὁ κακοδαίμων.
Ὑπέρβολος δ' οὐκ ἐκ λύχνων πλεῖν 1) ἢ τάλαντα πολλὰ
Εἴληφε διὰ πονηρίαν, ἀλλ' οὐ μὰ Δί' οὐ μάχαιραν;
ΔΙ. Καὶ τὴν Θέτιν δ' ἔγημε διὰ τὸ σωφρονεῖν ὁ Πηλεύς.
ΑΔ. Κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν, ᾤχετ'. οὐ γὰρ ἦν ὑβριστὴς,
Οὐδ' ἡδὺς ἐν τοῖς στρώμασι τὴν νύκτα παννυχίζειν,
Γυνὴ δὲ σιναμωρουμένη χαίρει. σὺ δ' εἶ Κρόνιππος.
Σκέψαι γὰρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
Ἃ ἔνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι,
Παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων, κιχλισμῶν.
Καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
Εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγκας,
Ἥμαρτες, ἠράσθης, ἐμοίχευσας. τί; κατελήφθης;

Ἀπό-

1) ὑπέρβολος δ' ἐκ τῶν λύχνων πλεῖν.

Ἀπόλωλας· ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν,
Χρῶ τῇ φύσει, σκίρτα, γέλα, νόμιζε μηδὲν αἰσχρόν.
Μοιχὸς γὰρ ἢν τύχῃς ἁλοὺς, τά δ' ἀντερεῖς πρὸς αὐτὸν,
Ὡς οὐδὲν ἠδίκηκας. εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν.
Κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν.
Καί τοι σὺ θνητὸς ὢν, θεοῦ πῶς μεῖζον ἂν δύναιο;
ΔΙ. Τί δ' ἢν ῥαφανιδωθῇ γε πειθόμενός m) σοι, τέφρᾳ τε τιλθῇ;
Ἕξει τίνα γνώμην λέγειν, τὸ μὴ εὐρύπρωκτος εἶναι;
ΑΔ. Ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν;
ΔΙ. Τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;
ΑΔ. Τί δῆτ' ἐρεῖς, ἢν τοῦτο νικηθῇς ἐμοῦ;
ΔΙ. Σιγήσομαι. τί δ' ἄλλο; ΑΔ. φέρε δή μοι φράσον.
Συνηγοροῦσιν ἐκ τίνων;
ΔΙ. Ἐξ εὐρυπρώκτων. ΑΔ. πείθομαι.
Τί δαὶ τραγῳδοῦσ' ἐκ τίνων;
ΔΙ. Ἐξ εὐρυπρώκτων. ΑΔ. Εὖ λέγεις.
Καὶ δημαγωγοῦσ' ἐκ τίνων;
ΔΙ. Ἐξ εὐρυπρώκτων. ΑΔ. Ἆρα δῆ-
τ' ἔγνωκας ὡς οὐδὲν λέγεις;
Καὶ τῶν θεατῶν ὁπότεροι πλείους, σκόπει.
ΔΙ. Καὶ δὴ σκοπῶ. ΑΔ. τί δῆθ' ὁρᾷς;

ΔΙ.

m) πιθόμενος reponit *Küsterus*. In Msc. *Vatic.* omittitur γε.

ΔΙ. Πολὺ πλείονας, νὴ τοὺς θεοὺς,
Τοὺς εὐρυπρώκτους.
Καὶ τουτονὶ γοῦν οἶδ' ἐγὼ, κἀκεινοὶ,
Καὶ τὸν κομήτην τουτονί.
ΑΔ. Τί δῆτ' ἐρεῖς;
ΔΙ. Ἡττώμεθ'. ὦ κινούμενοι,
Πρὸς τῶν θεῶν, δέξασθέ μου
Θοἰμάτιον, ὡς
Ἐξαυτομολῶ πρὸς ὑμᾶς.

## ΔΡΑΜΑΤΟΣ γ'. ΣΚΗΝΗ δ'.
### ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ. ΧΟΡΟΣ.

ΣΩ. Τί δῆτα; πότερον τοῦτον ἐπάγεσθαι n) λαβὼν
Βούλει τὸν υἱὸν, ἢ διδάσκω σοι λέγειν;
ΣΤ. Δίδασκε, καὶ κόλαζε, καὶ μέμνησ', ὅπως
Εὖ μοι στομώσεις αὐτόν. ἐπὶ μὲν θάτερα,
Οἷαν δικιδίοις, τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
Στόμωσον, οἷαν ἐς τὰ μείζω πράγματα.
ΣΩ. Ἀμέλει, κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.
ΦΕΙ. Ὠχρὸν μὲν οὖν οἶμαι γε, καὶ κακοδαίμονα.
ΧΟ. Χώρει νῦν, οἴομαι δὲ
Σοὶ ταῦτα μεταμελήσειν.



n) *Kusterus* rescribit ἀπάγεσθαι e Msc. *Arundel.*

## ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ ιϛ΄.

### Τροχαϊκοὶ Τετράμετροι.

ΧΟΡΟΣ.

Τοὺς κριτὰς ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν χορὸν
Ὠφελῶσ᾽ ἐκ τῶν δικαίων, βουλόμεσθ᾽ ὑμῖν φράσαι.
Πρῶτα μὲν γάρ, ἢν νεοῦν βούλησθ᾽ ἐν ὥρᾳ τοὺς ἀγρούς,
Ὕσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ᾽ ἄλλοις ὕστερον.
Εἶτα τὸν καρπὸν τεκούσας ἀμπέλους φυλάξομεν,
Ὥστε μήτ᾽ αὐχμὸν πιέζειν, μήτ᾽ ἄγαν καὶ ἐπομβρίαν.
Ἢν δ᾽ ἀτιμάσῃ τὶς ἡμᾶς, θνητὸς ὢν, οὔσας θεάς,
Προσεχέτω τὸν νοῦν πρὸς ἡμῶν οἷα πείσεται κακά,
Λαμβάνων οὔτ᾽ οἶνον, οὔτ᾽ ἄλλ᾽ οὐδὲν ἐκ τοῦ χωρίου.
Ἡνίκ᾽ ἂν γὰρ αἵτ᾽ ἐλαῖαι βλαστάνωσ᾽, αἵτ᾽ ἄμπελοι,
Ἀποκεκόψονται, τοιαύταις σφενδόναις παιήσομεν.
Ἢν δὲ πλινθεύοντ᾽ ἴδωμεν, ὕσομεν, καὶ τοῦ τέγους
Τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις συντρίψομεν.
Κἂν γαμῇ ποτ᾽ αὐτὸς, ἢ τῶν ξυγγενῶν, ἢ τῶν φίλων,
Ὕσομεν τὴν νύκτα πᾶσαν, ὥστ᾽ ἴσως βουλήσεται
Κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κακῶς.

## ΔΡΑΜΑΤΟΣ δ΄. ΣΚΗΝΗ α΄.

### Τρίμετροι Ιαμβικοί.

ΣΤΡΕΨΙΑΔΗΣ.

Πέμπτη, τετράς, τρίτη, μετὰ ταύτην δευτέρα,
Εἶθ᾽, (ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν

Δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι)
Εὐθὺς μετὰ ταύτην ἔσθ' ἕνη τε καὶ νέα.
Πᾶς γάρ τις ὄμνυσ', οἷς ὀφείλων τυγχάνω,
Θεὶς μοι πρυτανεῖ', ἀπολεῖν με φησὶ κἀξολεῖν,
Ἐμοῦ μέτριά τε καὶ δίκαι' αἰτουμένου·
Ὦ δαιμόνιε, τὸ μέν τι νυνὶ μὴ λάβῃς,
Τὸ δ' ἀναβαλοῦ μοι, τὸ δ' ἄφες. οὔ φασίν ποτε
Οὕτως ἀπολήψεσθ', ἀλλὰ λοιδοροῦσί με
Ὡς ἄδικός εἰμι· καὶ δικάσεσθαι φασί μοι.
Νῦν οὖν δικαζέσθων· ὀλίγον γάρ μοι μέλει,
Εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδης.
Τάχα δ' εἴσομαι, κόψας τὸ φροντιστήριον.
Παῖ, ἠμὶ, παῖ, παῖ.

## ΔΡΑΜΑΤΟΣ δ'. ΣΚΗΝΗ β'.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

ΣΩ. Στρεψιάδην ἀσπάζομαι.
ΣΤ. Κἄγωγέ σ'. ἀλλὰ τουτονὶ πρῶτον λαβέ.
Χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
Καί μοι τὸν υἱὸν, εἰ μεμάθηκε τὸν λόγον
Ἐκεῖνον, εἴφ', ὃν ἀρτίως εἰσήγαγες.
ΣΩ. Μεμάθηκεν. ΣΤ. Εὖ γ', ὦ παμβασίλει' ἀπαιόλη.
ΣΩ. Ὥστ' ἀποφύγοις ἂν, ἥντιν' ἂν βούλῃ, δίκην.
ΣΤ. Κ' εἰ μάρτυρες παρῆσαν, ὅτ' ἐδανειζόμην;
ΣΩ. Πολλῷ γε μᾶλλον, κἂν παρῶσι χίλιοι.
ΣΤ. Βοάσομ' ἄρα τὰν ὑπέρτονον

Βοᾶν.

Βοάν. Ἰὼ, κλάετ' ὦ 'βολοστάται,
Αὐτοί τε, καὶ τἀρχεῖα, o) καὶ τόκοι τόκων.
Οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσησθ' ἔτι,
Οἷος ἐμοὶ τρέφεται
Τοῖς δ' ἐνὶ δώμασι παῖς,
Ἀμφήκει γλώττῃ
Λάμπων, πρόβολος ἐμός,
Σωτὴρ δόμοις, ἐχθροῖς ἀνιαρὸς,
Λυσανίας πατρῴων μεγάλων κακῶν.
Ὃν κάλεσον τρέχων,
Ἔνδοθεν ὥς ἐμέ.
Ὦ τέκνον, ὦ παῖ, παῖ
Ἔξελθ' οἴκων.
Ἄϊε σοῦ πατρός.
ΣΩ. Ὅδ' ἐκεῖνος ἀνήρ.
ΣΤ. Ὦ φίλος, ὦ φίλος·
ΣΩ. Ἄπιθι σὺ λαβών.

## ΔΡΑΜΑΤΟΣ δ'. ΣΚΗΝΗ γ'.

### ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

ΣΤ. Ἰὼ, ἰὼ, τέκνον·
Ἰοῦ, ἰοῦ·
Ὡς ἥδομαί σου πρῶτα τὴν χροίαν ἰδὼν·
Νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς,
Κἀντιλογικὸς, καὶ τοῦτο τοὐπιχώριον



o) *Küsterus* τἀρχαῖα legendum esse monet.

Ἀτεχνῶς ἐπανθεῖ, τὸ, τί λέγεις σύ; καὶ δοκεῖν
Ἀδικοῦντ' ἀδικεῖσθαι; καὶ κακουργοῦντ' οἶδ' ὅτι.
Ἐπὶ τοῦ προσώπου τ' ἐςὶν Ἀττικὸν βλέπος.
Νῦν οὖν ὅπως σώσῃς μ', ἐπεὶ κἀπώλεσας. p)
ΦΕΙ. Φοβεῖ δὲ δὴ τί; ΣΤ. τὴν ἕνην τε καὶ νέαν.
ΦΕΙ. Ἕνη γάρ ἐςι καὶ νέα τις ἡμέρα;
ΣΤ. Εἰς ἥν γε θήσειν τὰ πρυτανεῖά φασί μοι.
ΦΕΙ. Ἀπολοῦντ' ἄρ' αὔθ' οἱ θέντες. οὐ γάρ ἐσθ' ὅπως
Μί' ἡμέρα γένοιτ' ἂν ἡμέραι δύο.
ΣΤ. Οὐκ ἂν γένοιτο; ΦΕΙ. πῶς γὰρ, εἰ μή περ γ' ἅμα
Αὐτὴ γένοιτο γραῦς τε καὶ νέα γυνή;
ΣΤ. Καὶ μὴν νενόμιςαί γ'. ΦΕΙ. οὐ γὰρ, οἶμαι, τὸν νόμον
Ἴσασιν ὀρθῶς, ὅ, τι νοεῖ; ΣΤ. νοεῖ δὲ τί;
ΦΕΙ. Ὁ Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν.
ΣΤ. Τουτὶ μὲν οὐδέν πω πρὸς ἕνην τε καὶ νέαν.
ΦΕΙ. Ἐκεῖνος οὖν τὴν κλῆσιν εἰς δύ' ἡμέρας
Ἔθηκεν, εἴς τε τὴν ἕνην τε καὶ νέαν.
Ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.
ΣΤ. Ἵνα δὴ τί τὴν ἕνην προσέθηκεν; ΦΕΙ. ἵν', ὦ μέλε,
Παρόντες οἱ φεύγοντες ἡμέρᾳ μιᾷ
Πρότερον, ἀπαλλάττοινθ' ἑκόντες· εἰ δὲ μὴ,
Ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
ΣΤ. Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ

Ἀρ-

p) *Toupius* ita corrigit:
Νῦν οὖν ὅπως σώσεις μ', ἐπεὶ κἀπώλεκας.

Ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἔνη τε καὶ νέᾳ;
ΦΕΙ. Ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν,
Ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφελοίατο,
Διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.
ΣΤ. Εὖγ', ὦ κακοδαίμονες, τί κάθησθ' ἀβέλτεροι,
Ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι,
Ἀριθμὸς, πρόβατ', ἄλλως ἀμφορῆς νενασμένοι;
Ὥστ' εἰς ἐμαυτὸν, καὶ τὸν υἱὸν τουτονί,
Ἐπ' εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον.
Μάκαρ ὦ Στρεψίαδες,
Αὐτός τ' ἔφυς ὡς σοφὸς,
Χ' οἷον τὸν υἱὸν ἐκτρέφεις;
Φήσουσι δή μ' οἱ φίλοι,
Χ' οἱ δημόται ζηλοῦντες,
Ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
Ἀλλ' εἰσαγαγών σε βούλομαι
Πρῶτον ἑστιᾶσαι.

## ΔΡΑΜΑΤΟΣ δ'. ΣΚΗΝΗ δ'.

Ἰαμβικοὶ Τρίμετροι.

ΠΑΣΙΑΣ, Ο ΔΑΝΕΙΣΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΡΤΥΡ.

ΠΑ. Εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;
Οὐδέ ποτέ γ'· ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε
Ἀπερυθριάσαι γε μᾶλλον, ἢ σχεῖν πράγματα,
Ὅτε τῶν ἐμαυτοῦ γ' οὕνεκα νυνὶ χρημάτων
Ἕλκω σε κλητεύσοντα, καὶ γενήσομαι

Ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ·
Ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ
Ζῶν, ἀλλὰ καλοῦμαι Στρεψιάδην. ΣΤ. Τίς οὑτοσί;
ΠΑ. Ἐς τὴν ἕνην τε καὶ νέαν. ΣΤ. μαρτύρομαι.
Ὅτι ἐς δύ' εἶπεν ἡμέρας· τοῦ χρήματος;
ΠΑ. Τῶν δώδεκα μνῶν, ἃς ἔλαβες ὠνούμενος
Τὸν ψαρὸν ἵππον. ΣΤ. Ἵππον; οὐκ ἀκούετε;
Οὐ πάντες ὑμεῖς ἴστε με μισοῦνθ' ἱππικήν;
ΠΑ. Καὶ νὴ Δί' ἀποδώσειν γ' ἐπώμνυς τοὺς θεοὺς
Τὸ χρέος. ΣΤ. μὰ Δί' οὐ γάρ πω τότ' ἐξηπίστατο
Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον.
ΠΑ. Νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ;
ΣΤ. Τί γὰρ ἄλλ' ἂν ἀπολαύσαιμι τοῦ μαθήματος;
ΠΑ. Καὶ ταῦτ' ἐθελήσεις ἀπομόσαι μοι q) τοὺς θεοὺς,
Ἵν' ἂν κελεύσω 'γώ σε; ΣΤ. Τοὺς ποίους θεούς;
ΠΑ. Τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποσειδῶ. ΣΤ. νὴ Δία.
Κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.
ΠΑ. Ἀπόλοιο τοίνυν, ἕνεκ' ἀναιδείας ἔτι.
ΣΤ. Ἁλσὶνδιασμηχθεὶς ὄναιτ' ἂν οὑτοσί.
ΠΑ. Οἴμ', ὡς καταγελᾷς. ΣΤ. ἓξ χοᾶς χωρήσεται.
ΠΑ. Οὔ τοι μὰ τὸν Δία τὸν μέγαν, καὶ τοὺς θεοὺς,
Ἐμοῦ καταπροΐξει. ΣΤ. θαυμασίως ἥσθην θεοῖς,
Καὶ Ζεὺς γέλοιος ὀμνύμενος τοῖς εἰδόσιν.
ΠΑ. Ἦ μὴν σὺ τούτων τῷ χρόνῳ δώσεις δίκην.

Ἀλλ'

q) al. ἀπομόσαιμι.

Ἀλλ' εἴτ' ἀποδώσεις μοι τὰ χρήματ', εἴτε μὴ,
Ἀπόπεμψον ἀποκρινάμενος. ΣΤ. ἔχε νῦν ἥσυχος.
Ἐγὼ γὰρ αὐτίκ' ἀποκρινοῦμαί σοι σαφῶς.
ΠΑ. Τί σοι δοκεῖ δράσειν; ΜΑΡ. ἀποδώσειν σοι δοκεῖ.
ΣΤ. Ποῦ 'σθ' οὗτος, ὁ ἀπαιτῶν με τ' ἀργύριον; λέγε,
Τουτὶ τί ἐστι; ΠΑ. Τοῦθ' ὅ, τ' ἐστί; κάρδοπος.
ΣΤ. Ἔπειτ' ἀπαιτεῖς τ' ἀργύριον τοιοῦτος ὤν;
Οὐκ ἂν ἀποδοίην οὐδ' ὀβολὸν ἂν οὐδενὶ,
Ὅς τις καλέσειε κάρδοπον τὴν καρδόπην.
ΠΑ. Οὐκ ἄρ' ἀποδώσεις; ΣΤ. οὐχ, ὅσον γέ μ' εἰδέναι.
Οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς
Ἀπὸ τῆς θύρας; ΠΑ. ἄπειμι· καίτοι γ' ἴσθ', ὅτι r)
Θήσω πρυτανεῖ', ἢ μηκέτι ζώην ἐγώ.
ΣΤ. Προσαποβαλεῖς ἄρ' αὐτὰ πρὸς τὰ δώδεκα,
Καί τοι σε τοῦτό γ' οὐχὶ βούλομαι παθεῖν,
Ὅτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

## ΔΡΑΜΑΤΟΣ δ'. ΣΚΗΝΗ δ'.

Ἰαμβικοί Τρίμετροι.

ΑΜΥΝΙΑΣ, Ο ΔΑΝΕΙΣΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΡΤΥΡ.

ΑΜ. Ἰώ μοί μοι
ΣΤ. Ἔα,
Τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν; ἢ τί που
Τῶν Καρκίνου τις δαιμόνων ἐφθέγξατο;

AM.

r) καὶ τέτ' ἴσθ' ὅτι Msc. *Vatic.*

ΑΜ. Τί δ', ὅς τις εἰμὶ, τοῦτο βούλεσθ' εἰδέναι;
Ἀνὴρ κακοδαίμων. ΣΤ. κατὰ σεαυτὸν νῦν τρέπου.
ΑΜ. Ὦ σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες
Ἵππων ἐμῶν· ὦ Παλλάς, ὥς μ' ἀπώλεσας·
ΣΤ. Τί δαί σε Τληπόλεμός ποτ' εἴργασαι κακόν;
ΑΜ. Μὴ σκῶπτέ μ', ὦ τᾶν, ἀλλά μοι τὰ χρήματα
Τὸν υἱὸν ἀποδοῦναι κέλευσον, ἃ 'λαβεν,
Ἄλλως τε μέν τοι καὶ κακῶς πεπραγότι,
ΣΤ. Τὰ ποῖα ταῦτα χρήμαθ'; ΑΜ. ἃ 'δανείσατο.
ΣΤ. Κακῶς ἄρ' ὄντως εἶχες, ὥσγ' ἐμοὶ δοκεῖς.
ΑΜ. Ἵππους γ' ἐλαύνων ἐξέπεσον, νὴ τοὺς θεούς.
ΣΤ. Τί δῆτα ληρεῖς, ὥσπερ ἀπ' ὄνου καταπεσών;
ΑΜ. Ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;
ΣΤ. Οὐκ ἔσθ', ὅπως σύγ' αὐτὸς ὑγιαίνεις. ΑΜ. τί δαί;
ΣΤ. Τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.
ΑΜ. Σὺ δέ, νὴ τὸν Ἑρμῆν, προσκεκλήσεσθαί γέ μοι,
Εἰ μὴ ἀποδώσεις τἀργύριον. ΣΤ. κάτειπέ νυν,
Πότερα νομίζεις καινὸν αἰεὶ τὸν Δία
Ὕειν ὕδωρ ἑκάστοτ', ἢ τὸν Ἥλιον
Ελκειν κάτωθεν ταυτὸ τοῦθ' ὕδωρ πάλιν;
ΑΜ. Οὐκ οἶδ' ἔγωγ' ὁπότερον· οὐδέ μοι μέλει.
ΣΤ. Πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
Εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων;
ΑΜ. Ἀλλ' εἰ σπανίζεις τἀργυρίου, μοὶ τὸν τόκον
Ἀπόδος γε. ΣΤ. Τοῦτο δ' ἔσθ' ὁ τόκος τί θηρίον;
ΑΜ. Τί δ' ἄλλο γ', ἢ κατὰ μῆνα, καὶ καθ' ἡμέραν,

Πλέον πλέον τἀργύριον αἰεὶ γίνεται,
Ὑποῤῥέοντος τοῦ χρόνου; ΣΤ. καλῶς λέγεις.
Τί δῆτα, τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
Νυνὶ νομίζεις, ἢ προτοῦ; ΑΜ. μὰ Δί', ἀλλ' ἴσην.
Οὐ γὰρ δίκαιον πλεῖον εἶναι. ΣΤ. Κᾆτα πῶς
Αὕτη μὲν, ὦ κακόδαιμον, οὐδὲν γίνεται
Ἐπιῤῥεόντων τῶν ποταμῶν πλείων; σὺ δὲ
Ζητεῖς ποιῆσαι τἀργύριον πλεῖον τὸ σόν;
Οὐκ ἀποδιώξεις σαυτὸν ἐκ τῆς οἰκίας;
Φέρε μοι τὸ κέντρον. ΜΑΡ. ταῦτ' ἐγὼ μαρτύρομαι.
ΣΤ. Ὕπαγε, τί μέλλεις; οὐκ ἐλᾷς, ὦ Σαμφόρα;
ΑΜ. Ταῦτ' οὐχ ὕβρις δῆτ' ἐστίν; ΣΤ. ἄξεις; ἐπιαλῶ s)
Κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον.
Φεύγεις; ἔμελλον ἄρα κινήσειν σ' ἐγὼ,
Αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

### ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιη'.
### ΧΟΡΟΣ.

Οἷον τὸ πραγμάτων ἐρᾷν φλαύρων!
Ὁ γὰρ γέρων ὅδ' ἐραστὴς
Ἀποστερῆσαι βούλεται
Τὰ χρήμαθ', ἃ 'δανείσατο·
Κοὐκ ἔσθ' ὅπως οὐ τήμερον λήψεται t)
Πρᾶγμ', ὃ τοῦτον ποιήσει
Τὸν σοφιστὴν, ὧν πανουργεῖν



s) Forte ἐπεὶ ἐλῶ *Küster*.
t) Cod. *Vatic.* τήμερον τε λήψεται.

Ἤρξατ᾽, ἐξαίφνης τὶ κακὸν λαβεῖν·
Οἶμαι γὰρ αὐτίχ᾽ εὑρήσειν ὅπερ
Πάλαι πότ᾽ ἐζήτει,
Εἶναι τὸν υἱὸν δεινόν οἱ,
Γνώμας τ᾽ ἐναντίας λέγειν
Τοῖσι δικαίοις,
Ὥςε νικᾷν ἅπαντας,
Οἷσπερ ἂν ξυγγένηται,
Κᾂν λέγῃ παμπόνηρα.
Ἴσως ἴσως βουλήσεται
Κἄφωνον αὐτὸν εἶναι.

## ΔΡΑΜΑΤΟΣ ε΄. ΣΚΗΝΗ α΄.

Τρίμετροι Ἰαμβικοί.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

Ἰοὺ, ἰού!
Ὦ γείτονες, καὶ ξυγγενεῖς, καὶ δημόται,
Ἀμύνατέ γε μοι τυπτομένῳ πάσῃ τέχνῃ.
Οἴ μοι κακοδαίμων τῆς κεφαλῆς, καὶ τῆς γνάθου·
Ὦ μιαρὲ, τύπτεις τὸν πατέρα; ΦΕΙ. Φήμ᾽ ὦ πάτερ.
ΣΤ. Ὁρᾶθ᾽ ὁμολογοῦντ᾽, ὅτι με τύπτει; ΦΕΙ. καὶ μάλα.
ΣΤ. Ὦ μιαρὲ, καὶ πατραλοία, καὶ τοιχωρύχε.
ΦΕΙ. Αὖθίς με ταυτὰ ταῦτα, καὶ πλείω λέγε.
Ἆρ᾽ ἴσθ᾽, ὅτι χαίρω πόλλ᾽ ἀκούων δὴ κακά.
ΣΤ. Ὦ λακκόπρωκτε. ΦΕΙ. πάττε πολλοῖς τοῖς ῥόδοις.
ΣΤ. Τὸν πατέρα τύπτεις; ΦΕΙ. Κἀποφανῶ γε, νὴ Δία,

Ὡς

Ὡς ἐν δίκῃ σ' ἔτυπτον. ΣΤ. ὦ μιαρώτατε,
Καὶ πῶς γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ;
ΦΕΙ. Ἔγωγ' ἀποδείξω, καί σε νικήσω λέγων.
ΣΤ. Τουτὶ σὺ νικήσεις; ΦΕΙ. πολύ γε καὶ ῥᾳδίως.
Ἑλοῦ δ' ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
ΣΤ. Ποίοιν λόγοιν; ΦΕΙ. τὸν κρείττον', ἢ τὸν ἥττονα;
ΣΤ. Ἐδιδαξάμην μέν τοι σε, νὴ Δί', ὦ μέλε,
Τοῖσι δικαίοις ἀντιλέγειν, εἰ ταῦτά γε
Μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλὸν,
Τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.
ΦΕΙ. Ἀλλ' οἴομαι μέν τοι σ' ἀναπείσειν, ὥστε γε
Οὐδ' αὐτὸς ἀκροασάμενος οὐδὲν ἀντερεῖς.
ΣΤ. Καὶ μὴν, ὅ, τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

## ΔΡΑΜΑΤΟΣ έ. ΣΚΗΝΗ β'.

### ΧΟΡΟΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

ΧΟ. Σὸν ἔργον, ὦ πρεσβῦτα, φροντίζειν, ὅπῃ
Τὸν ἄνδρα κρατήσεις,
Ὡς οὗτος, εἰ μή τῳ πέποιθεν, οὐκ ἂν ἦν
Οὕτως ἀκόλαστος·
Ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται· δῆλόν γε τὸ
Λῆμ' ἐστὶ τἀνθρώπου. u)
Ἀλλ' ἐξ ὅτου τοπρῶτον ἤρξαθ' ἡ μάχη γενέσθαι,



u) Quia versus hic non respondet suo pari in Antistrophe, sic rescribit *Bentleius* λῆμ' ἐστι τοτ' ἀνδρος.

Ἤδη λέγειν χρὴ πρὸς χορόν. πάντως δὲ τοῦτο δράσεις.
ΣΤ. Καὶ μὴν ὅθεν γε τοπρῶτον ἠρξάμεθα λοιδορεῖσθαι,
Ἐγὼ φράσω· ἐπειδὴ γὰρ εἱστιώμεθ᾽, ὥσπερ ἴστε,
Πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ᾽ ἐγὼ ᾽κέλευσα
Αἶσαι Σιμωνίδου μέλος, τὸν κριὸν ὡς ἐπέχθη.
Ὁ δ᾽ εὐθὺς ὡς ἀρχαῖον εἶν᾽ ἔφασκε τὸ κιθαρίζειν,
Ἄιδειν τε πίνονθ᾽, ὥσπερεὶ κάχρυς γυναῖκ᾽ ἀλοῦσαν.
ΦΕΙ. Οὐ γὰρ τότ᾽ εὐθὺς χρῆν σέ γ᾽ ἄρα τύπτεσθαι καὶ πατεῖσθαι.
Ἄιδειν κελεύονθ᾽, ὥσπερεὶ τέττιγας ἑστιῶντα;
ΣΤ. Τοιαῦτα μέν τοι καὶ τότ᾽ ἔλεγεν ἔνδον, οἷά περ νῦν.
Καὶ τὸν Σιμωνίδην ἔφασκ᾽ εἶναι κακὸν ποιητήν.
Κἀγὼ μόλις μὲν ἀλλ᾽ ὅμως ἠνεσχόμην τοπρῶτον.
Ἔπειτα δ᾽ ἐκέλευσ᾽ αὐτὸν, ἀλλὰ μυῤῥίνην λαβόντα,
Τῶν Αἰσχύλου λέξαι τί μοι. κᾆθ᾽ οὗτος εὐθὺς εἶπεν.
Ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς,
Ψόφου πλέων, ἀσύστατον, στόμφακα, κρημνοποιόν.
Κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν;
Ὅμως δὲ τὸν θυμὸν δακὼν, ἔφην, σὺ δ᾽ ἀλλὰ τούτων
Λέξον τι τῶν νεωτέρων, ἅττ᾽ ἐστὶ τὰ σοφὰ ταῦτα.
Ὁ δ᾽ εὐθὺς ἦσ᾽ ἐξ Εὐριπίδου x) ῥῆσίν τιν᾽ ὡς ἐκίνει
Ἀδελφὸς, ὦ λεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
Ἐγὼ δὲ τ᾽ y) οὐκ ἠνεσχόμην· ἀλλ᾽ εὐθὺς ἐξαράττω

Πολ-

x) ἐξ redundat, & abest a MSc. *Vatic.* hinc & a *Dukero Toupio*que eiicitur.

y) *Toupius* ponit ἐγὼ δ᾽ ἔτ᾽.

Πολλοῖς κακοῖς κ' αἰσχροῖσι, κᾆτ' ἐντεῦθεν, οἷον εἰκὸς,
Ἔπος πρὸς ἔπος ἠριζόμεθ'. z) εἶθ' οὗτος ἐπαναπηδᾷ,
Κᾄπειτ' ἔφλα με, κᾀσπόδει, κᾄπνιγε, κᾀπέτριβεν.
ΦΕΙ. Οὐκοῦν δικαίως, ὅς τις οὐκ Εὐριπίδην ἐπαινεῖς,
Σοφώτατον; ΣΤ. σοφώτατόν γ' ἐκεῖνον; ὦ τί σ' εἴπω;
Ἀλλ' αὖθις αὖ τυπτήσομαι. ΦΕΙ. νὴ τὸν Δί' ἐνδίκως γάρ.
ΣΤ. Καὶ πῶς δικαίως; ὅς τις ὦ 'ναίσχυντέ σ' ἐξέθρεψα
Αἰσθανόμενός σου πάντα τραυλίζοντος, ὅ, τι νοοίης·
Εἰ μέν γε βρῦν εἴπῃς, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον
Μαμμᾶν δ' ἂν αἰτήσαντος, ἧκόν σοι φέρων ἂν ἄρτον.
Κακκᾶν δ' ἂν οὐκ ἔφθης φράσαι, κᾀγὼ λαβὼν θύραζε
Ἐξέφερον ἄν, καὶ προὐσχόμην σε. σὺ δέ με νῦν ἀπάγχων,
Βοῶντα, καὶ κεκραγόθ', ὅτι
Χεζητιῴην, οὐκ ἔτλης
Ἔξω γ' ἐνεγκεῖν, ὦ μιαρὲ,
Θύραζέ μ'. ἀλλ' ἀποπνιγόμενος αὐτοῦ 'ποίησα κακκᾶν.

ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ η'.

ΧΟΡΟΣ.

Οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας
Πηδᾶν, ὅ, τι λέξει.

Λα-

z) ἠρειδόμεσθα cod. *Vatic.* & *Suid.*

Εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργασμένος,
Λαλῶν ἀναπείσει,
Τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν
Ἀλλ' οὐδ' ἐρεβίνθου.
Σὸν ἔργον, ὦ καινῶν ἐπῶν a) κινητὰ καὶ μοχλευτά.
Πειθώ τινα ζητεῖν, ὅπως δόξῃς λέγειν δίκαια.

ΦΕΙΔΙΠΠΙΔΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΧΟΡΟΣ.

ΦΕΙ. Ὡς ἡδὺ καινοῖς πράγμασι καὶ δεξιοῖς ὁμιλεῖν,
Καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνασθαι.
Ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ μόνῃ τὸν νοῦν προσεῖχον, b)
Οὐδ' ἂν τρί' εἰπεῖν ῥήμαθ' οἷός τ' ἦν, πρὶν ἐξαμαρτεῖν.
Νυνὶ δ' ἐπειδή μ' οὑτοσὶ τούτων ἔπαυσεν αὐτὸς,
Γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ μερίμναις,
Οἶμαι διδάξειν, ὡς δίκαιον τὸν πατέρα κολάζειν.
ΣΤ. Ἵππευε τοίνυν, νὴ Δί', ὡς ἐμοί γε κρεῖττόν ἐστιν
Ἵππον τρέφειν τέθριππον, ἢ τυπτόμενον ἐπιτριβῆναι.
ΦΕΙ. Ἐκεῖσε δ', ὅθεν ἀπέσχισάς με τοῦ λόγου, μέτειμι,
Καὶ πρῶτ' ἐρήσομαί γε τουτί, παῖδά μ' ὄντ' ἔτυπτες;
ΣΤ. Ἔγωγέ σ', εὐνοῶν τε καὶ κηδόμενος. ΦΕΙ. Εἰπέ δή μοι,
Οὐ κἀμέ σοι δίκαιόν ἐστιν εὐνοεῖν ὁμοίως,

Τύπτειν

a) ἐπῶν minus recte aberat a quibusdam editionibus. *Duckerus* λογων supplebat.

b) ἱππικῇ τὸν νοῦν μόνῃ προσεῖχον.

Τύπτειν τ᾽; ἐπειδήπερ τοῦτ᾽ ἔς᾽ εὐνοεῖν, c) τὸ τύπτειν.
Πῶς γὰρ τὸ μὲν σὸν σῶμα χρὴ πληγῶν ἀθῷον εἶναι
Τοὐμὸν δὲ μή; καὶ μὴν ἔφυν ἐλεύθερός γε κἀγώ.
Κλάουσι παῖδες, πατέρα δ᾽ οὐ κλάειν δοκεῖς; ΣΤ. τί ἡ δή;
ΦΕΙ. Φήσεις νομίζεσθαι σὺ παιδὸς τοῦτο τοὔργον εἶναι,
Ἐγὼ δέ γ᾽ ἀντείποιμ᾽ ἂν, ὡς δὶς παῖδες οἱ γέροντες.
Εἰκὸς δὲ μάλιςα τοὺς γέροντας, d) ἢ τοὺς νέους τι κλάειν,
Ὅσωπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.
ΣΤ. Ἀλλ᾽ οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.
ΦΕΙ. Οὔκουν ἀνὴρ, ὁ τὸν νόμον θεὶς τοῦτον, ἦν τοπρῶτον,
Ὥσπερ σὺ κἀγὼ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
Ἧττόν τι δῆτ᾽ ἔξεςι κἀμοὶ, καινὸν αὖ τολοιπὸν
Θεῖναι νόμον τοῖς υἱέσι, τοὺς πατέρας ἀντιτύπτειν;
Ὅσας δὲ πληγὰς εἴχομεν, πρὶν τὸν νόμον τεθῆναι,
Ἀφίεμεν, καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
Σκέψαι δὲ τοὺς ἀλεκτρυόνας, καὶ τἄλλα τὰ βοτὰ ταυτί,

Ὡς

c) *Vatic.* cod. rectius: τοῦτ᾽ ἔςιν εὐνοεῖν. *Duckerus* duplicem correctionem adfert, vel vt legatur: ἐπειδήπερ ἐςι τοῦτο εὐνοεῖν, vel ἐπειδὴ τοῦ τὸ περ ἐςι εὐνοεῖν.

d) Εἰκὸς δὲ μᾶλλον cod. *Vatic.* Deinde *Küster.* rescribit ἢ νεοὺς, omisso articulo.

Ὡς τοὺς πατέρας ἀμύνεται, καίτοι διαφέρουσ' οὐδὲν
Ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσι.
ΣΤ. Τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
Οὐκ ἐσθίεις καὶ τὴν κόπρον, κἀπὶ ξύλου καθεύδεις;
ΦΕΙ. Οὐ ταυτὸν, ὦ τᾶν ἐστὶν, οὐδ' ἂν Σωκράτει δοκοίη.
ΣΤ. Πρὸς ταῦτα μὴ τύπτ'. εἰ δὲ μὴ, σαυτόν ποτ' αἰτιάσει.
ΦΕΙ. Καὶ πῶς; ΣΤ. ἐπεί σε μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν.
Σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν. ΦΕΙ. ἢν δὲ μὴ γένηται,
Μάτην ἐμοὶ κεκλαύσεται· σὺ δ' ἐγχανὼν τεθνήξει.
ΣΤ. Ἐμοὶ μὲν ὦ 'νδρες ἥλικες, δοκεῖ λέγειν δίκαια.
Κἀμοί γε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεικῆ.
Κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ', ἢν μὴ δίκαια δρῶμεν.
ΦΕΙ. Σκέψαι δὲ χ' ἀτέραν ἔτι γνώμην. ΣΤ. ἀπὸ γὰρ ὀλοῦμαι.
ΦΕΙ. Καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν, ἃ νῦν πέπονθας.
ΣΤ. Πῶς δή; δίδαξον γὰρ, τί δή μ' ἐκ τούτων ὠφελήσεις; e)

ΦΕΙ.

e) Quaedam editiones habent ἐπωφελήσεις. Sed inuita metri lege. *Bentleius* reſcribit: τί δή μ' ἐκ τῶν δ' ἐπωφελήσεις.

ΦΕΙ. Τὴν μητέρ᾽, ὥσπερ καί σε, τυπτήσω. ΣΩ. τί
δῆτα φὴς σύ;
Τοῦθ᾽ ἕτερον αὖ μεῖζον κακόν.
ΦΕΙ. Τί δ᾽, ἢν ἔχων τὸν ἥττω
Λόγον, σε νικήσω λέγων,
Τὴν μητέρ᾽ ὡς τύπτειν χρεών;
ΣΤ. Τί δ᾽ ἄλλο γ᾽, ἢν ταυτὶ ποιῇς,
Οὐδέν σέ κωλύσει σεαυτὸν ἐμβαλεῖν
Ἐς τὸ βάραθρον μετὰ Σωκράτους,
Καὶ τὸν λόγον τὸν ἥττω;
Ταυτὶ δι᾽ ὑμας, ὦ Νεφέλαι, πέπονθ᾽ ἐγὼ,
Ὑμῖν ἀναθεὶς ἅπαντα τὰ ᾽μὰ πράγματα.
ΧΟ. Αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
Στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.
ΣΤ. Τί δῆτα ταῦτά γ᾽ οὐ τότ᾽ ἠγορεύετε;
Ἀλλ᾽ ἄνδρ᾽ ἄγροικον καὶ γέροντ᾽ ἐπήρατε.
ΧΟ. Ἀεὶ ποιοῦμεν ταῦθ᾽ ἑκάστοτ᾽, ὅτ᾽ ἄν τινα
Γνῶμεν πονηρῶν ὄντ᾽ ἐραστὴν πραγμάτων,
Ἕως ἂν αὐτὸν ἐμβάλωμεν ἐς κακὸν
Ὅπως ἂν εἰδῇ τὲς θεοὺς δεδοικέναι.
ΣΤ. Οἴμοι, πονηρά γ᾽, ὦ Νεφέλαι, δίκαιαι δέ·
Οὐ γάρ μ᾽ ἐχρῆν τὰ χρήμαθ᾽, ἁ ᾽δανεισάμην,
Ἀποστερεῖν· νῦν οὖν ὅπως, ὦ φίλτατε,
Τὸν Χαιρεφῶντα τὸν μιαρὸν, καὶ Σωκράτη
Ἀπολεῖς, μετ᾽ ἐμοῦ γ᾽ ἐλθ᾽, οἵ σε κἄμ᾽ ἐξηπάτων.
ΦΕΙ. Ἀλλ᾽ οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.

ΣΤ. Ναὶ, ναὶ, καταιδέσθητι πατρῷον Δία.
ΦΕΙ. Ἰδού γε Δία πατρῷον· ὡς ἀρχαῖος εἶ·
Ζεὺς γάρ τις ἐςί; ΣΤ. ἐςιν. ΦΕΙ. οὐκ ἔνεσ', f) ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.
ΣΤ. Οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην, g)
Διὰ τουτονὶ τὸν Δῖνον· οἴμοι δείλαιος,
Ὅτε καὶ σὲ χυτρεοῦν h) ὄντα θεὸν ἡγησάμην.
ΦΕΙ. Ἐνταῦθα σαυτῷ παραφρόνει, καὶ φληνάφει.

## ΔΡΑΜΑΤΟΣ ε'. ΣΚΗΝΗ γ'.

### ΣΤΡΕΨΙΑΔΗΣ, ΜΟΝΟΣ.

ΣΤ. Οἴμοι παρανοίας, ὡς ἐμαινόμην ἄρα,
Ὅτ' ἐξέβαλον καὶ τοὺς θεοὺς διὰ Σωκράτη·
Ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
Μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
Ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ.
Καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν
Διωκάθω γραψάμενος, εἴθ' ὅ, τι σοι δοκεῖ.
Ὀρθῶς παραινεῖς, οὐκ ἐῶν δικοῤῥαφεῖν.
Ἀλλ' ὡς τάχιστ' ἐμπιπράναι τὴν οἰκίαν
Τῶν ἀδολεσχῶν. Δεῦρο δεῦρ' ὦ Ξανθία,
Κλίμακα λαβὼν, ἔξελθε, καὶ σμινύην φέρων·

Κλί-

f) *Toupius* e coniectura substituit οὐκ ἂν ἐς'; quod optime quadrat.

g) Ἀλλ' ἐγὼ τότ' ᾠόμην *Küster.*

h) χύτρεον MSc. *Arundel.*

Κἄπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον,
Ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν,
Τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην. i)
Ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τὶς ἡμμένην.
Κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην
Ἐμοὶ ποιήσω, κἂν σφόδρ' εἴσ' ἀλαζόνες.

## ΔΡΑΜΑΤΟΣ ε'. ΣΚΗΝΗ δ'.

### ΜΑΘΗΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΣΩΚΡΑΤΗΣ, ΧΑΙΡΕΦΩΝ.

ΜΑ. Ἰοὺ, ἰού!
ΣΤ. Σὸν ἔργον, ὦ δᾲς, ἱέναι πολλὴν φλόγα.
ΜΑ. Ἄνθρωπε τί ποιεῖς; ΣΤ. ὅ, τι ποιῶ; τί ἄλλο k) γ' ἢ
Διαλεπτολογοῦμαι τοῖς δοκοῖς τῆς οἰκίας;
ΜΑ. Οἴμοι· τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;
ΣΤ. Ἐκεῖνος, ὅυπερ θοἰμάτιον εἰλήφατε.
ΜΑ. Ἀπολεῖς, ἀπολεῖς. ΣΤ. τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι·
Ἤν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας,
Ἢ 'γὼ πρότερόν πως ἐκτραχηλιοθῶ πεσών.
ΣΩ. Οὗτος τί ποιεῖς ἐτεὸν, οὑπὶ τοῦ τέγους;
ΣΤ. Ἀεροβατῶ, καὶ περιφρονῶ τὸν Ἥλιον.
ΣΩ. Οἴμοι τάλας· δείλαιος ἀποπνιγήσομαι.



i) Hic verſus in cod. *Vatic.* poſtponitur ſequenti.
k) τί δ' ἄλλο Mſc. *Vatic.*

ΧΑΙ. Ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.
ΣΤ. Τί γὰρ μαθόνθ᾽ ὑβρίζετόν γ᾽ εἰς τοὺς θεούς; 1)
Καὶ τῆς σελήνης ἐσκοπεῖσθε τὴν ἕδραν.
Δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα,
Μάλιστα δ᾽ εἰδὼς, τοὺς θεοὺς ὡς ἠδίκουν.

ΧΟΡΟΣ.

Ἡγεῖσθ᾽ ἔξω· κεχόρευται γὰρ μετρίως τόγε τήμερον ἡμῖν.

1) In hoc versu, qui in quibusdam editionibus male ante praecedentem collocatur, vitiose legitur μαθών. Cod. *Vatic.* habet: τί γὰρ μαθόντες τοὺς θεοὺς ὑβρίζετον.

# INDEX
## VERBORVM ET PHRASIVM.

Ἀβέλτερος 1203. i. q. ἀνόητος ſtolidus.
Ἄγαλμα 305. ſimulacrum deorum. αἰδοῦς ἄγαλμα 991. expreſſum aliquod ſimulacrum, ſ. perfecta imago pudoris.
Ἀγορεύω 1458. dico.
Ἀγορήτης 1053. orator. *ex Homeri Iliad. α. v.* 247.
Ἀγρεῖος 655. ruſticus. *Sed alii legunt* ἀχρεῖος ineptus, inutilis.
Ἄγριος 348. ferus, *de immani libidine dicitur.* ἄγριος μοχλεύτης 568. ſtrenuus rector ſ. motor.
Ἄγροικος 43. 628. ruſticus, agreſtis.
Ἀδελφιδῆ 47. neptis e ſorore.
Ἀδολεσχὴς 1487. nugator, argutator. *Dicitur autem vt ſequens*
Ἀδολεσχία 1482. *de ſophiſtarum diſputationibus.*
Ἀεναὸς 274. ſempiternus.
Ἀέριος 336. aërius.
Ἀεροβατῶ 225. 1505. in aëre incedo.
Ἀερονηχὴς 336. in aëre natans.
Ἀθρεῖν 729 videre.
Ἄθροος 962. ſtipatus, confertus.
Ἀθῷος 1415. impunis. ἀθῷος πλήγων a plagis immunis.
Αἰθέριος 319. aetherius cf. v. 570.
Αἰθρία 370. ſudum, cœli ſerenitas.
Αἱρεῖσθαι 591. κλοπῆς ἑλεῖν furti accuſare.

Ἀκά-

᾿Ακάματος 285. indefeſſus.

᾿Ακατάβλητος 1231. inuictus.

᾿Ακόλαςος 1351. effrenis.

᾿Ακόρητος 44. *de vita dicitur* ſordida, *deliciarum elegantiaeque neſcia.*

᾿Ακτίν 572. radius ſolis.

῎Αλειν 1361. molere.

᾿Αλεκτρύαινα 666. gallina, *nomen ab Ariſtophane fortaſſe ioci cauſſa fictum, quum alias* ἀλεκτρυων *vtrique ſexui tribueretur.*

᾿Αλφιτάμοιβος 640. farinae venditor.

᾿Αμύνειν 1326. defendere, opem ferre. 1430. vlciſci.

᾿Αμφήκης 1195. ἀμφήκει γλώττῃ λάμπειν, clarum eſſe ancipiti lingua, i. e. in vtramque partem disputandi facultate.

᾿Αμφορεῦς 1205. amphora.

᾿Αναγεύω 523. guſtandum affero, propino, *metaph. pro* iudicio alicuius ſubiicio.

᾿Αναγρύζειν 942. hiſcere.

᾿Αναμάττω 676. depſo, pinſo.

᾿Αναπειςήριος 873. ad perſuadendum idoneus.

᾿Αναπνοὴ 627. halitus, per quem ridicule iurat Socrates, quaſi per Deum.

᾿Αναρμόςος 905. inconcinnus, ineptus.

᾿Ανήθον 879. anethum.

῎Ανθος 1023. flos, ſ. flumen orationis.

᾿Ανθρήνη 944. crabro.

῎Ανιππος 125. equo deſtitutus.

᾿Ανόητα 416. dicuntur ἀφροδίσια res venereae, quoniam ſolent hominem ad ſtultitiam tradere.

Ανταποπέρδειν 292. oppedere.

᾿Αν-

ʼΑντιβολεῖν 110 obſecrare.

ʼΑντιγραφὴ 472. πράγματα κἀντιγραφαὶ dicuntur lites, quoniam continent accuſationem, oppoſitamque rei defenſionem.

ʼΑντιτύπτειν 1426. verbera reddere.

ʼΑνυπόδητος 103. 362. qui nudis pedibus incedit, discalceatus.

ʼΑπαιολὴ 1149. fraus. Illam quaſi deam, aut Lauernam inuocat Strepſiades.

ʼΑπαιόλημα 727. i. q. ἀπάτημα, dolus, aut fallacia.

ʼΑπαςία 621. ieiunium.

ʼΑπέραντος 392. *quod etiam ſcribitur* ἀπέρατος 3. infinitus.

ʼΑπεριμερίμνως 136. incaute.

ʼΑπερυθριάω 1218. pudorem exuo.

ʼΑπηνὴς 970. indecorus, obſcoenus.

ʼΑποδημεῖν 370. peregre abire, ſecedere.

ʼΑποδιώκειν ἑαυτὸν 1296. ocyus ſe auferre, amoliri ſeſe.

ʼΑποθραύω 993. τῆς εὐκλείας ἀποθραύεσθαι famae maculam accipere, detrimentum honoris capere. *Proprie* ἀποθραύειν *eſt* confringere.

ʼΑποκόπτειν 1123. amputare.

ʼΑπολιταργίζω 1255. celeriter aufugio.

ʼΑποπνίγομαι 1392. ſuffocor.

ʼΑποςερήτικος νȣ̃ς 726. i. q. γνώμη ἀποςερήτις 728. commentum defraudatorium.

ʼΑπόφευξις δίκης 872. litis effugium.

ʼΑποχαλάω 760. dimitto.

ʼΑριθμος 1205. homo nullius pretii, numerus. cf. *Horat. Ep.* 1, 2, 27.

ʼΑρνακις 728. pellis ouina ſ. agnina. Berglerus exiſtimat comicum ad verbum ἄρνησις alludere.

Ἀρχαῖος 1471. ſtultus.
Ἀσματοκάμπτης 332. qui modos carminum molliter flectit.
Ἀσύστατος 1370. incompoſitus.
Ἄττικον βλέπος 1178. vultus Atticus; i. e. impudens.
Ἀφανίζειν 757. 968. retundere, abolere.
Ἄφυκτος 1043. qui effugere nequit.
Ἀχρεῖος 655. inutilis, ineptus.

Βαιὸς 1009. paruus.
Βαρυαχὴς 277. grauiter fremens.
Βαρύβρομος πόντος 283. grauiter ſonans pontus. μοῦσα βαρύβρομος αὐλῶν 302. grauis cantus tibiarum.
Βεκκεσέληνος 397. anilis & ineptus, ἀρχαῖος και μωρός. *Etymologiam huius verbi comice ficti declarat Scholiaſtes.*
Βιοθρέμμων 570. vitam alens.
Βλιτομάμας 997. bliteus, inſulſus.
Βόλβος 188. bulbus.
Βόστρυχος 536. cincinnus.
Βρομία χάρις 310. intelligitur Bacchi feſtum, nempe vel Antheſteria, vel Διονύσια κατ᾽ ἄστυ.
Βροντησικέραυνος 264. tonans & fulgurans.
Βρύειν 43. ſcatere, abundare.
Βωμολοχεύεσθαι 966. ſcurriliter agere.
Βωμολόχος 907. ſcurra.

Γάμψος 336. curuus, aduncus.
Γλωττοστροφεῖν 700. loquacem ſ. rabulam eſſe.
Γνωμίδιον 320. ſententiola.
Γραμματτεῖον 19. tabulae expenſorum.
Γραμματεύς 768. ſcriba.
Γρύζειν 960. hiſcere.

Δαί-

Δαίμων 1267. fors fortuna.

Δαιμωνίως 76. valde.

Δαΐος 334 impetuosus.

Δάκνειν τὸν θυμὸν 1372. iram cohibere s. deuorare.

Δάκτυλος 651. *κατὰ δάκτυλον genus rhythmi.*

Δαρδάπτω 710. dilacero.

Δενδρόκομος 279. arboribus obsitus.

Δέρειν ἄσκον 441. excoriare aliquem, vt vter fiat e cute. Sic in Equit. 369. Δερῶ σε θύλακον κλοπῆς faciam e cute tua saccum in quo furta condi possint.

Δήμαρχος 37. erat proprie is, qui a debitoribus, vsuram non soluentibus, pignora capiebat; h. l. autem simul ad pulices alluditur.

Διαβήτης 178. circinus.

Διακναίω. 120. διακεκναισμένος τὸ χρῶμα cui color faciei deturpatus est, & collapsus.

Διακορκορυγεῖν 386. perstrepere.

Διαλακεῖν 409. disrumpi.

Διαλεπτολογεῖσθαι 1498. subtilitatibus immorari.

Διαλφιτόω 669. farina oppleo.

Διασμήχομαι 1239. perfricor.

Διαφανὴς λίθος 763. pellucidus lapis i. e. crystallus.

Δικίδιον 1107. lis parua.

Δῖνος αἰθέριος 370. turbo aetherius. Comico autem ioco simul respicitur ad δῖνον, h. e. vrceum, in theatro positum. Hunc saltem intelligit Strepsiades.

Διφρίσκος 31. curriculum.

Διχοίνικον 640. modius duo choenices capiens.

Διωκάθω 1484. persequor.

Δροσερὸς 276. roscidus.

Δυσκολοκάμπτος 967. difficiles modos in cantibus flectens.

Δυσκολόκοιτος μέριμνα 419. studium seu speculatio, qua somnus turbatur.

Ἐγκέφαλος 1279. cerebrum.
Ἐγκοισυρᾶσθαι 48. Coesyrae mores imitari.
Ἐγκορδυλάομαι 10. inuoluor.
Ἐγχαίνειν 1338. irridere.
Εἰσαΐσσω 543. irrumpo.
Ἑκατογκέφαλος 325. (i. q. ἑκατοντακέφαλος Ran. 467.) centiceps.
Ἐκπίνειν τὴν ψυχὴν 711. sanguinem exsugere.
Ἐκφροντίζειν 695. excogitare.
Ἕλκειν 1220. in ius rapere.
Ἐμβάπτειν 150. intingere.
Ἐμφερὴς 502. similis.
Ἐνεχυράζεσθαι 35. 240. pignora capere.
Ἐνόπλιος 651. κατ' ἐνόπλιον. *genus rhythmi.*
Ἐντείνεσθαι 965. τὴν ἁρμονίαν, intendere concentum.
Ἐντυλίττομαι 983. inuoluor.
Ἐξαλίειν 32. prouoluere.
Ἐξαμβλῶσαι φροντίδα 137. cogitationem tamquam abortum excutere.
Ἐξαράττω 1376. h. l. incesso, proscindo *scil.* conuiciis.
Ἐξαυτομολῶ 1122. transfugio.
Ἔξοδος 579. i. q. ἀνάβασις expeditio, profecto bellica.
Ἐπαίρειν τινά 42. 1459. distinere, spe fallere.
Ἐπίδειξις 268. demonstratio.
Ἐπιθαυμάζειν 1146. munere augere, honorarium dare.
Ἐπιπηδᾶν 550. insultare.
Ἐπιστέλλειν 608. mandare.
Ἐπιτρίβειν 1379 verberibus contundere.
Ἐπιχαλκεύειν 421. ferrum in aliquo cudere.

Ἐπομβρία 1118. pluuiosa tempestas.
Ἐρεβίνθος 1398. cicer.
Ἐρέθισμα 311. incitatio.
Ἔυανδρος 299. εὔανδρος γῆ. terra fortium virorum genitrix.
Εὐκέλαθος 311. suauiter sonans.
Ἔυπτερος 798. nobilis.

Ζύγιος (ἵππος) 122. equus funalis.
Ζυγωθρίζειν 743. h. l. examinare.

Ἡνίοχος αἰγίδος 602. epitheton Palladis.
Ἥττων λόγος 113. 1034. sermo inferior, i. e. ἀδίκος iniustus.

Θᾶκος, vel θῶκος 989. sedes.
Θαλίαι 308. epulae.
Θεόσεπτος 291. diuino honore afficiendus.
Θέσεις 1193. depositio prytaneorum. vid. πρυτανεια.
Θήρατης λόγων 357. subtilium sermonum venator.
Θραυσάντυξ 1276. currum frangens.
Θύεια 676. mactra.
Θυμβρεπίδειπνος 420. thymbra contentus ad coenam.
Θυμόσοφος 875. ingeniosus.

Ἱερεὺς λήρων 358. nugarum sacerdos.
Ἱερομνημονεῖν 624. sacri scribae munere fungi.
Ἰκμὰς 233. humor.
Ἵππερος 74. i. q. νόσος ἱππικὴ 242.
Ἶτις 444. (i. q. ἰταμὸς, ἀναιδὴς) procax.

Καθειργνύω 749. includo.
Καλλίπυργος 2020. pulchris turribus instructus, s. omnino bene aedificatus & munitus.

Κάμπτειν κάμπην 966. vocem molliter inflectere.
Κάρδοπος 669. 674. mactra.
Καταγλωττίσματα 51. obſcoena baſia.
Κατακρήμναμαι 376. praeceps dependeo.
Κατάληψιν 317. *Scholiaſtes interpretatur* τὴν γνῶσιν, καὶ αἴσθησιν, καὶ τὴν τέχνην. *Eſt autem* perceptio, ſ. comprehenſio.
Καταλέεσθαι 836. καταλέεσθαι τὸν βίον vitam eluere, h. e. bona diſperdere.
Καταπάσσειν 177. 261. conſpergere.
Κατατοξεύω 941. configo, h. l. *metaphorice pro* refuto.
Καταφρύγειν 395. comburere.
Κεντεῖν 945. pungere.
Κεστρέα 338. mugil.
Κινεῖν 1374. 1099. (i. q. βίνειν) abuti foemina.
Κίχλη 338. turdus.
Κιχλίζω 979. vel turdos edere, vel cachinnari.
Κιχλισμός 1069. cachinnus.
Κίων 813. columna.
Κληρουχικὸς 203. κληρουχικὴ γῆ ager qui ſorte datur.
Κλητεύω 1220. teſtor alium in ius vocatum eſſe.
Κλόνος 386. tumultus.
Κολετρᾶν 552. conculcare.
Κολοκύντη 326. cucurbita.
Κομᾶν 545. ſuperbire.
Κομήτης 347. qui comam alit.
Κομψοπρεπὴς 1026. feſtiuus, elegans.
Κόρδαξ 540. genus inhoneſtae ſaltationis.
Κορίνθιοι 709. *comice dictum pro* κόρεις, cimices.
Κόσκινος 372. cribrum.
Κότταβος 1069. erat, quum vinum e poculo in terram ſic eiicerent, vt id reſonaret.

Κρημνόποιος 1370. tumidorum verborum artifex.
Κρόνιππος 1066. i. q. μέγας λῆρος magnus nugator.
Κρῦσις 317. fraudulentia.
Κυδοιδοπᾷν 616. confundere.
Κύειν 81. osculari.
Κυνῆ 267. pileus tegens caput, aduersus pluuiam aut solem.
Κυπτάζω 509. moror, cesso.
Κύρβις 447. *proprie* tabula legum h. l. *de* leguleio *aut* rabula *dicitur*.
Κωμάστης 606. comessator.

Λακκόπρωκτος 1333. cinaedus.
Λάρος 591. auis quaedam rapax, h. l. conuicii caussa in Cleonem dicitur.
Λαφυγμὸς 52. helluatio.
Λῆμα 456. 1353. audacia.
Λημάω 376. lippio.
Λίθος 1204. lapis, i. e. truncus, stupidus.
Λινόδετος 761. filo religatus.
Λίπαρος 298. splendidus, illustris.
Λοφεῖον 749. theca h. l.
Λυμαίνεσθαι 925. vitiare, constuprare.
Λυσανίας 1162. curas soluens.

Μαθητιάω 183. discere cupio.
Μαλθακίζω 725. mollesco.
Μαρμάρεος 286. candidus, splendens.
Ματιολοιχός 450. in rebus friuolis callidus.
Μεγαλώνυμος 569. celebris.
Μελιττοῦτα 507. offa mellita, quam in Trophonii antro serpentibus obiiciebant.

Μέ-

Μέριμναι 1406. ſtudia.
Μεριμνοφροντιστής 101. meditationibus deditus.
Μετεωρίζεσθαι 403. ſublime ferri.
Μετεωροσοφιστής 359. ſublimium rerum indagator.
Μετεωροφέναξ 332. qui decipit alios disputando de rebus arduis ac ſublimibus.
Μηλολόνθης 761. ſcarabaeus.
Μνησικακεῖν 995. memorem eſſe malorum.
Μολίβδος 910. plumbum.
Μορίαι 1001. oliuae ſacrae.
Μουσοποιεῖν 333. carmine celebrare.
Μοχλεύτης 568. 1399. motor, ſ. rector.
Μυκᾶσθαι 291. boare.
Μυστόδοκος 302. myſticus.

Νεοττοτροφεῖν 995. a pueritia educari.
Νεᾶν 1115. nouare.
Νόμισμα 247. moneta, it. quod more vel lege receptum eſt.
Νύττειν 320. *proprie* pungo, h. l. refello.

Ξυνωρικεύεσθαι 15. currus agitare.
Ξυνωρίς 1305. currus.

Ὀβελίσκος 178. veru.
Ὀβολοστάτης 1154. foenerator.
Ὀμβροφόρος 297. imbrifer.
Ὀροφὴ 173. tectum.
Ὀῤῥοπύγιον 158. podex.
Ὄρχεις 711. teſticuli.
Ὀρχήστρις 992. ſaltatrix.
Οὐρανομήκης 356. 459. coelum feriens, in coelum elatus.
Ὀψοφαγεῖν 979. h. l. piſcibus veſci.

Παι-

Παιπάλη 256. pollen.

Παλαιογενὴς 357. olim natus.

Παλαμᾶσθαι 176. moliri, excogitare.

Παμβασίλειαι 356. 1149. praepotentes reginae.

Παννυχίζειν 1065. pernoctare.

Παραβάλλεσθαι 361. τὰς ὀφθαλμὰς oculos circumferre.

Παράνοια 1478. 843. παρανοίας ἑλεῖν *filii dicebantur patres, cum eos apud iudices dementiae accusarent postularentque, vt a re familiari remouerentur.*

Παρατείνομαι 212. protendor, *it.* vexor, *in quo latet* ἀμφιβολία.

Πάσχειν 234. i. q. πράττειν cf. 401. 461. 789.

Πάταγος 481. fragor, strepitus.

Παταγεῖν 383. 388. fragorem f. strepitum edere.

Παύειν 1405. τινὰ τινὸς, aliquem ab aliquo abducere.

Πέκειν 1359. tondere.

Πεντετάλαντος 756. δίκη, lis, quae aestimatur quinque talentis.

Περίλεξις 317. loquacitas.

Περίοδος 206. γῆς, terrae ambitus, f. descriptio.

Περίτριμμα 446. δικῶν tritus in caussis forensibus, rabula de foro.

Περιφλύω 395. amburo.

Περιφορὰ 172. περιφοραὶ τῆς σελήνης lunae conuersiones.

Περιφρονεῖν 225. τὸν ἥλιον solem contemplari. *Strepsiades autem v. sq. sinistre intelligit* contemnere.

Πέρσικαι 151. *calceamenti muliebris genus.*

Πεύκη 604. fax.

Πίσυνος 946. fretus, fidens.

Πλεῖν 1037. *pro* πλέον.

Πλινθεύω 1124. lateres coquo.

M Πλό-

Πλόκαμος 335. cirrus.

Πνιγεὺς 96. fornax.

Πολεμίζειν 418. τῇ γλώττῃ lingua pugnare.

Πολεμιστήριον 28. sc. ἅρμα currus bellicus.

Πολιοῦχος 602. *epitheton Mineruae;* praeses vrbis.

Πολυήρατος 300. valde amabilis.

Πότης 57. λύχνος, lucerna bibula, quae multum olei absumit.

Πρημαίνειν 335. impetuose flare.

Προαγωγεύειν 976. ἑαυτὸν τοῖς ὀφθαλμοῖς se ipsum oculis s. adspectu allicere.

Πρόβατον 1205. de homine stupido.

Πρόβολος 1160. h. l. i. q. προστάτης, columen, praesidium.

Προμνήστρια 41. pronuba.

Πρόπολος 435. minister.

Προσαποβάλλω 1258. perdo.

Προσκατατιθέναι 1237. insuper dare, s. deponere.

Πρόσοδοι 306. pompae solemnes.

Προστιλᾶν 410. stercore contaminare.

Προσφύω 371. argumentis affirmo.

Προτενθεύω 1202. praegusto. h. l. *metaph.* de pecunia, quae prius recipitur, quam debetur.

Προτένθης 1200. gulosus, catillo.

Προχοαὶ 271. Νείλου, Nili ostia.

Πρόχους *ibid.* gutturnium.

Πρυτανεῖα 1182. 1199. *pecunia quae tam ab' actore, quam a reo in iudicio deponebatur;* tamquam sacramentum, *ita vt victus & suam partem perderet, & victori, cuius depositum itidem aerario cedebat, illud redderet. Vid. Küster. & Spanhem. ad h. l.*

Πυκνότης 383. prudentia.

Πυρπολέω 1499. incendo.

Ῥα-

Ῥαφανιδοῦσθαι 1079. raphanismum pati, *poenam adulterorum.*
Ῥέγκω 11. sterto.
Ῥηγνύειν 356. 377. 583. 957. rumpere.
Ῥιψάσπις 523. qui scutum abiicit in praelio.
Ῥόδον 907. 1333. *dicitur de* conuiciis, *quae grata magis ac iucunda, quam molesta sibi esse profitentur.*
Ῥοῖβδος 406. stridor.
Ῥύμη 406. impetus.

Σαμφόρας 122. equus sigmate, (quod etiam Σὰμ dicebatur) insignitus.
Σέβας 301. veneratio, cultus.
Σείω 1279. τὸν ἐγκέφαλον σεσεῖσθαι cerebro emoto esse.
Σειραφόρος (sc. ἵππος) 1303. equus funalis.
Σεμνοπροσωπεῖν 362. supercilium attollere, superbire.
Σιδάρεος 248. ferreus sc. nummus.
Σιναμωρεῖν 1066. subagitare.
Σισύρα 10. lodix.
Σκαιὸς 629. 655. peruersus, ineptus.
Σκαλαθυρμάτια 630. minutiae, s. subtilitates.
Σκίμπους 253. grabatus.
Σκινδαλμὸς 130. *proprie* scrupulus, *h. l. metaph.* subtilitas.
Σκιρτάω 1075. salto.
Σκοπία 280. specula.
Σκύτινος 878. coriaceus.
Σμῆνος 296. *proprie* examen apum. *h. l. tropice* nubium chorus.
Σμινύη 1488. ligo.
Σόβαρος 405. vehemens, impetuosus.
Σοροπηγὸς 844. faber loculorum, s. sandapilarum.

Σπαθᾶν 53. texere, it. disperdere, prodigere.
Σπανίζειν 1288. indigere.
Σποδεῖν 1379. male afficere, verberare.
Στέμφυλα 45. fraces.
Στενολεσχεῖν 319. subtiliter disputare s. garrire.
Στομόω 1106. exacuo.
Στόμφαξ 1370. grandiloquus. Substantiuum στόμφος occurrit ap. Longinum. v. c. sect. 3. dicitur πρᾶγμα ὀγκηρὸν καὶ ἐπιδεχόμενον στόμφον.
Στρεβλόω 620. inquiro.
Στρεψοδικεῖν 433. ius inuertere.
Στρόγγυλος 749. 1125. rotundus.
Στροφὶς 450. homo versutus.
Στωμύλλω 999. garrio.
Συγκολλήτης 445. concinnator, s. conglutinator.
Συμψάω 971. complano.
Σφραγιδονυχαργοκομήτης 331. vox comice ficta, quae secundum scholiasten designat hominem, qui digitos vsque ad *vngues annulis* implet, simulque *ignauus* est, & *comam alit*.
Σχάω *i. q.* σχάζω 107. omitto. 408. 378. incido, aperio.

Ταῤῥὸς 226. calathus.
Τέθριππος ἵππος 1409. quadrigae.
Τειχομαχεῖν 481. murum oppugnare.
Τελεταὶ 303. mysteria h. l. Eleusinia.
Τέμαχος 338. frustum.
Τερατεία 317. praestigiae.
Τετρεμαίνω 293. tremo.
Τέφρα 177. cinis.
Τηλέπορος 964. longe penetrans.

Τηλέσκοπος 289. longe prospiciens.
Τηλεφανὴς 280. longe conspicuus.
Τοιχωρύχος 1330. parietum perfossor.
Τραυλίζω 860. balbutio.
Τρίαινα 566. tridens.
Τρίβων 867. peritus.
Τρίμμα 259. λέγειν, in dicendo exercitatus.
Τρυγοδαίμονες 295. i. q. κακοδαίμονες τρυγῳδοί.
Τρυσίβιος 420. vitam crucians.
Τυφογέρων 905 senex fatuus.

Ὕαλος 766. crystallus.
Ὑθλεῖν 781. nugari.
Ὑπανίςαμαι 989. honoris caussa assurgo.
Ὑπέρλαμπρος 572. praelucidus.
Ὑπέρτονος 1135. valde intensus.
Ὑπερφρονεῖν 216. 1402. contemnere.
Ὑπερφυὴς 76. eximius, excellens.
Ὑποῤῥέω 1292. ὑποῤῥέοντος τȣ͂ χρόνȣ sensim labente tempore.
Ὑπόχρεως 241. obaeratus.
Ὑφαρπάζειν 490. arripere, apprehendere.
Ὑψερεφὴς 305. altus.
Ὑψικέρας 597. excelsus.
Ὑψιμέδων 563. sublimis.

Φαλακρός 540. caluus.
Φαρμακίς 747. γύνη, mulier venefica.
Φασιανὸς 109. phasianus.
Φθάνω 1134. Οὐκ ἔφθης φράσαι simulac dixisses.
Φιλόμουσος 357. sapiens.

Φιμόω 592. obturo.
Φλάω 1379. contundo.
Φληναφεῖν 1477. nugas agere.
Φλύαρος 364. nugae.
Φοιτάω 913. frequento.
Φόρτικος 524. difficilis, moleſtus.
Φροντὶς 137. cogitatio.
Φροντιςήριον 94. 181. &c. ſchola ſ. domicilium ſophiſtarum.
Φρερα 719. Φρερᾶς ᾄδειν noctem inſomnem cantando tranſigere.
Φυλλοβολεῖν 1003. folia protrudere.
Φυράομαι 974. inflecto ſc. vocem.
Φωράω 499. rem furto ablatam quaero.

Χαυνωσις 873. ἀναπειςήρια, ſermo turgidus ad perſuadendum compoſitus. *χαῦνος apud Longinum dicitur de inani, tumido atque inflato genere dicendi.*
Χεζητιᾷν 1390. i. q. χεσειεῖν 294.
Χιονόβλητος 269. niue opertus.
Χνᾶς 974. lanugo.
Χολᾶν 831. inſanire.
Χορδὴ 454. *cibi genus ex inteſtinis paratum.*
Χρήςης 239. foenerator.
Χυτρεοῦς 1476. fictilis.
Χωρεῖν 18. 905. procedere, creſcere.

Ψαρὸς 1227. varius.
Ψεκάζειν 580. ſtillare.
Ψιθυρίζειν 1004. ſuſurrare.
Ψυχὴ 711. ſanguis.

Ὥρα 1004. anni tempus.
Ὠχριάω 103. palleſco.

## *Errata operarum.*

v. 41. leg. ἀπολέσθαι. v. 87. l. πιθοῦ. v. 178. post ὀβελίσκον ponatur comma. v. 187. l. οὑτοιΐ; pag. 24. not. h) lin. 11. lege: Nubium editione ταῖς προτέραις Νεφελ. pag. 33. lin. 2. leg. τετράμετροι. ibid. not. b) ad v. 593. pro κᾀξημάρτητε lege κᾀξημάρτετε; itemque κᾀξημάρτετο pro κᾀξημάρτητο. v. 872. lege ἀπόφευξιν. v. 876. lege παιδάριον. v. 1218. l. ἀπερυθριάσαι. v. 1474. not. g) *pro* τοτ᾽ ὠόμην *lege* τοτ᾽ ᾠόμην Δία. *In Indice*, in verbo ἀνόητα *pro* tradere *l.* trahere, *in verbo* διχοίνικον *pro* modius — capiens *lege* quarta modii pars duo ſextarios, vel duas choenicas capiens. *in verbo* ζύγιος *pro* funalis *leg.* iugalis.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0108-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0109-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0110-2

Ce 1601

ULB Halle 3
006 313 264

VD18

M.C.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0111-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0112-3

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

# ARISTOPHANIS NVBES

IN VSVM
SEMINARII REGII THEOL.
SEPARATIM EDIDIT,
VARIETATEM LECTIONIS,
INDICEMQVE VERBORVM
ADIECIT
CHRISTIANVS GODOFREDVS SCHVTZ A. M.



HALAE PROPE SALAM
APVD IOANNEM CHRISTIANVM HENDEL
CIↃIↃCCLXX.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-676492-p0113-9